# AKROPOLIS WORLD NEWS

www.akwn.net

J. Coderch, M.A., Ph.D.

**Second Year**

**(October 2003 - June 2004)**

It will be observed that during this second year (my first one in Oxford) I started including some articles that had nothing to do with recent news. Some of my readers suggested some more variety in the articles, not only political news, but also articles about history, books published, etc.

**China about to launch space mission**
(14-10-03)

<u>Ἡ Σίνα ἀερονόμον ἀποστολὴν ἀνήσειν μέλλει</u>

*Οἱ τοῦ προγράμματος ἡγεμόνες εἶπον χθὲς ὅτι ἡ ἀνίησις ἴσως τῇ Τεταρτῇ γενήσοιτο· τὸ μὲν βέλος, Μακρὰ Πορεία ὀνόματι, ἐκ τῆς Γόβι ἐρημίας ἀνεθήσεται, ἐὰν δὲ ἡ ἀποστολὴ ἐπιτυγχάνῃ, ἡ Σίνα τρίτη χώρα γενήσεται ἄνθρωπον εἰς τὸν ἀέρα πέμψασα, τῶν ΗΑΠ καὶ τῶν ἀφάντων ΕΣΚΔ τοῦτο ἤδη ποιησάντων.*

*καίπερ δὲ τῆς Σίνας τετταρακαίδεκα ἀστροναύτας ταύταις ταῖς ἀποστολαῖς ἡτοιμακυίας, εἷς μόνος ὁ ἔξαιτος ἀστροναύτης ἔσται, καὶ δὲ καὶ νῦν μεγίστη στρατιὰ φυλάκων τὴν τῆς ἀνιήσεως χώραν μάλιστα φυλάττει, τὸ γὰρ Σινικὸν ἀερονόμον πρόγραμμα ἀεὶ κρυπτῶς διασέσωσται, διὰ δὲ τοῦτο οὐδεὶς ξένος δημοσιογράφος ἐξουσίας εἰσελθεῖν πειρώμενος ἔτι καὶ νῦν τυγχάνει.*

*ἡ μὲν Σινικὴ ἀρχὴ τὴν ἀνίησιν διὰ τῆς τηλεοράσεως δεικνύναι ἐβούλετο, τέλος δὲ τοῦτο τὸ βούλευμα ἀπέλιπεν, φοβουμένη μὴ ἡ ἀποστολὴ δυστυχοίη· οὐδένα οὖν λανθάνει ἡ Σινικὴ ἀρχὴ τῇ ἀνιήσει πολιτικῶς χρωμένη.*

**US troops battle at Iraqi-Syria border**
(17-10-03)

<u>Ἀμερικανοὶ στρατιῶται ἐν τῷ Ἰρακίῳ-Σιρικῷ ὅρῳ μάχονται</u>

*Τῇ Τετάρτῃ Ἀμερικανοὶ στρατιῶται τινὲς ὑπὸ μεγάλης συστάσεως προσεβλήθησαν ἐκ τῆς Συρίας εἰς τὸ Ἰρὰκ παρὰ τὸν νόμον εἰσελθεῖν πειρωμένης· τῶν δὲ συμμάχων στρατιωτῶν αὖθις ἀντιπροσβαλλόντων, πολλοὶ τῶν διηθούντων ἀπέθανον.*

*Πρῶτον μὲν οἱ Ἀμερικανοὶ στρατιῶται τοὺς παρὰ τὸν νόμον διηθοῦντας ἰδόντες ἐπεῖρων μετ' αὐτοὺς διαλέγεσθαι, οὗτοι δὲ ἐξαίφνης προσέβαλον· οἱ οὖν σύμμαχοι ἐνίους μὲν ἀπέκτειναν, ἐνίους δὲ εἷλον· καὶ δὴ καὶ οἱ τῶν συμμάχων στρατιωτικοὶ ἡγεμόνες εἶπον ὅτι τὰ πανδοκεῖα ἐν οἷς ἑσπέριοι ἄνθρωποι οἰκοῦσι ἀπειληθείη, διὰ δὲ ταῦτα ἑλικόπτερα μὲν τῶν συμμάχων συνεχῶς ἐπὶ τῷ πανδοκείῳ Παλαιστίνῃ πέτεται, ἑστέκασι δὲ στρατιῶται πολλοὶ πρὸ τοῦ οἰκοδομήματος.*

*ἄλλως δὴ τὰ ἀρχαῖα Ἰράκια χρήματα μετηλλάχθη· τὰ μὲν γὰρ ἀρχαῖα νομίσματα τὸν τοῦ Σαδδὰμ Οὐσσεὶν εἰκόνα ἐδείκνυ, τὰ δὲ νέα εἰκόνας φοινίκων τε καὶ ἱστωρικῶν τόπων δείκνυσιν.*

**Bush rules out N. Korean pact**
(19-10-03)

<u>Ὁ Βοὺιξ τὴν μετὰ τῆς Βορεαίας Κωρέας σπονδὴν ἀπωθεῖ</u>

*Ἡ Βορεαῖα Κωρέα διαλέγεσθαι μὲν ἐθέλει, ἀποδοκιμάζει δὲ τὸ ἀτομικὸν πρόγραμμα ἀπολιπεῖν, εἰ αἱ ΗΑΠ μὴ σπονδὰς μετ' αὐτοὺς σπένδουσιν ἐφ' αἷς ἄμφω χῶραι ἀλλήλαις οὐ προσέβαλλον ἄν.*

*ὁ οὖν Ἀμερικανὸς πρόεδρος Βοὺιξ τοῦτο τὸ βούλευμα τῷ Σινικῷ προέδρῳ Οὒ Χιντάω ἀνεκοινώνησεν, ὁ γὰρ τῆς Σίνης πρόεδρος ἐν τῷ μεταξὺ τῶν τε ΗΑΠ καὶ τῆς Β. Κωρέας διαλόγῳ διαλλακτὴς γέγονεν· νῦν δὴ διαλογοῦνται ἓξ χῶραι, οἱ δὲ ἄλλοι τέτταρες ἡ Ἰαπωνία καὶ ἡ Νοτία Κωρέα καὶ ἡ Σίνα καὶ ἡ Ῥωσσία εἰσίν.*

*ἡ τοι τοῦ Βοὺιξ ἀρχὴ βούλεται τὴν Β. Κωρέαν ἀτομικὸν καύσιμον μὴ συνεχῶς ἐργάζεσθαι, ὁ δὲ*

*Κῶλιν Πόβηλ λέγει ὅτι τὸ ἀτομικὰ ὅπλα ἔχειν τὴν Β. Κωρέαν οὐκ ὠφελεῖ, τὴν μὲν γὰρ οἰκονομίαν ὀλεθρεύει καὶ οὐδένα τρέφει καὶ οὐδένα δεδίσσεται· λέγει δὲ καὶ ὅτι ἐὰν ἡ Β. Κωρέα τὸ ἀτομικὸν προγράμμα ἀπολείπῃ, αἱ ΗΑΠ σπονδὰς καὶ πρὸς τὰς ἄλλας τῆς Ἀσίας χώρας ποιήσουσιν.*

*καίπερ δὲ τούτου τοῦ προβλέματος οὕτως γενομένου, ὁ μὲν Ἀμερικανὸς πρόεδρος Βοῦιξ χθὲς εἰς τὸ Βαγγκὸκ ἀφίκετο, οἱ δὲ τῶν ἄλλων χωρῶν ἡγεμόνες αὐτῷ ὁμιλήσουσιν ὡς περὶ τούτῳ διαλεξόμενοι.*

**Kluivert to leave Barcelona, heading to Newcastle**
(21-10-03)

*Ὁ Κλοῖβερτ, εἰς τὴν Νεβκάστλην ἰών, τὴν Βαρκελόνην λείπει*

*Ὁ τῆς Βαρκελόνης προπονητὴς Φράνκ Ῥίχκααρδ ταύτης τῆς ἑβδομάδος σὺν τῷ Κλοῖβερτ διαλέξεται ἵνα κρίνειν σχῇ πότερον οὗτος ἐν τῇ Βαρκελόνῃ ἀγωνιεῖται ἢ οὔ· ὁ γὰρ πρόεδρος Χοὰν Λαπόρτα εἶπε τῇ Κυριακῇ ὅτι ἡ Νεβκάστλη περὶ τοῦ Κλοῖβερτ σπουδάζοι· ὁ δὴ Ὀλλανδικὸς ἀγωνιστής, ἤδη εἴκοσι καὶ ἕπτα ἔτη γεγονώς, πολλάκις ὑπὸ τῶν θεατῶν ἐμέμφθη καὶ ἔτι καὶ νῦν μέμφεται· τοῦ γὰρ ἀγωνιστοῦ οὐχ ἱκανῶς πονοῦντος, αἱ τῶν θεατῶν μέμψεις συχνάκις γίγνονται, εὐλόγως δή.*

*ὁ δὲ Ῥίχκααρδ βούλεται μὲν τὸν Κλοῖβερτ μένειν, βούλεται δὲ καὶ τὸν ἀγωνιστὴν γνώμην περὶ ἑαυτοῦ ποιεῖσθαι· οἱ μὲν οὖν τῆς Νεβκάστλης ἡγεμόνες ἐν τῇ πόλει Βαρκελόνῃ ἄρτι ἦσαν ἵνα φιλικὸν ἀγῶνα παρέχοιεν, περὶ δὲ τοῦ Κλοῖβερτ χρηματίζειν ἐβούλοντο, ἀλλὰ ἡ Βαρκελόνη πράξει τινὶ ἐξουσίαν οὐδεμίαν ἔδωκεν.*

**Lightning strikes Gibson's Christ**
(24-10-03)

*Ἀκτίς τις τὸν τοῦ Γίβσων Χριστὸν πλήττει*

*Ὁ περίφαντος Μὲλ Γίβσων κινηματογραφικὸν ἔργον περὶ τοῦ Χριστοῦ ποιεῖ, ἀκριβῶς δὴ περὶ τῆς τελευτῆς αὐτοῦ ἡμέρας· ἐν μὲν τούτῳ τῷ ἔργῳ μόνον ἑβραϊστί τε καὶ ἀραμαϊστὶ οἱ ὑποκρίται λέξουσιν, γνώμας δὲ πολεμικὰς παρὰ τοῖς θρησκευσιμοῖς ἡγεμόνεσι ἤδη ἀπεργάσατο διὰ τὸ περὶ τῆς τοῦ Χριστοῦ θανατόσεως θέμα.*

*ὁ δὲ τὸν Χριστὸν ὑποκρίτων, ὁ Χὶμ Καουιήθελ, χθὲς ἀκτῖνι μὲν ἐπλήγη, ἐτρώθη δὲ οὔ· τοῦτο δὴ ἤδη δὶς αὐτῷ γέγονεν, τὸ μὲν πρῶτον ἐπὶ λόφῳ ἐν τῇ Ἰταλίᾳ, τοὺς γε ἐσχάτους δακτυλίους τότε ἐτρώθη, τὸ δὲ δεύτερον καὶ ἐν τῇ Ἰταλίᾳ πλησίον τῆς Ῥώμης ταὐτὸ χθὲς ἐγένετο.*

*πολλῶν γὰρ τοῦ κινηματογραφικοῦ ἔργου μερῶν ὑπὸ τῇ ὀμβρίᾳ γιγνομένων, αὗται αἱ συμφοραὶ συμβαίνουσιν.*

**The widow of Chiang Kai-shek dies at 106**
(24-10-03b)

*Ἡ τοῦ Σιὰγγ Καὶ-σιὲκ χήρα ἀποθνήσκει ἑκατὸν καὶ ἓξ ἔτη γεγοννῖα*

*Ἡ τοῦ Σιὰγγ Καὶ-σιὲκ χήρα χθὲς ἐν τῇ οἰκίᾳ αὐτῆς ἐν τῷ Μανχάτταν ἀπέθανεν· αὕτη δὴ ἡ γυνὴ ἀεὶ πολλὴν ῥοπὴν πρὸς τὴν πολιτικὴν τέχνην εἶχεν οὐ μόνον ἅτε ἄλοχος τοῦ Σιὰγγ Καὶ-σιὲκ οὖσα ἀλλὰ καὶ οἷα πολλὰ αὐτὴ μόνη ποιοῦσα.*

*ὡς δὴ πάντες ἤδη ἴσασιν, τὸ Κυόμινταγγ τὴν τελευταῖαν Σινικὴν δυναστείαν ἐκ τῆς ἀρχῆς ἐξέβαλεν·*

*ἔπειτα δέ, τελευτήσαντος τοῦ Δευτέρου Παγκοσμίου Πολέμου, ἐν οἰκείῳ πολέμῳ ὑπὸ τῶν τε κοινονιστῶν καὶ τοῦ Μάο Τσὲ Τοῦγγ ἡττήθησαν καὶ εἰς τὸ Ταιουὰν ἀπεχώρησαν.*

*ἔτι μὲν παῖς οὖσα ἐν ταῖς ΗΑΠ ἐπαιδεύθη, ἀεὶ δὲ ἐλέγετο ὅτι ὁ μόνος ἀντήλιος χαρακτὴρ ὂν ἔχοι τὸ πρόσωπον εἴη, καίπερ αὐτὴ τὸ γένος Σινικὴ οὖσα.*

**Crucifix row hits Italian schools**
(27-10-03)

*Ἡ περὶ τοῦ σταυροῦ ἅμιλλα τὰ Ἰταλιανὰ διδασκαλεῖα ἀνατινάσσει*
*Ἀμφισβήτησις ἐγένετο προχθὲς ἐν τῇ Ἰταλιᾳ περὶ τοῦδε· πότερον δεῖ ἐν τοῖς διδασκαλείοις Χριστιανοὺς σταυροὺς ἔχειν ἢ οὔ;*

*ὁ δὲ Ἰταλιανὸς πρόεδρος Κάρλω Ἀζέγλιο Κιάμπι τῇ Δευτέρᾳ εἶπεν ὅτι ὁ σταυρὸς οὐ μόνον θρησκεύσιμον σύμβολον εἴη ἀλλὰ καὶ σύμβολον τῶν Ἰταλιανῶν ἐθῶν παρέχοι.*

*ἤδη μὲν γὰρ δεύτερον μῆνα Μουσουλμανικός τις τὸ διδασκαλεῖον ὃ ὁ υἱὸς αὐτοῦ φοιτᾷ εἰς δίκην καθέστησεν ἅτε σταυροὺς ἐν ταῖς αὐλαῖς ἔχον, δικαστὴς δέ τις αὐτοὺς ὑφελεῖν ἐκέλευσεν· αὕτη οὖν ἡ δικάσιμος κρίσις πολλὰς διαφοροὺς ἀποκρίσεις ἀναδέδωκεν.*

**34 killed by Baghdad bombs**
(27-10-03b)

*Τριάκοντα καὶ τέσσαρες ταῖς ἐν τῷ Βαγδὰδ προσβολαῖς ἀποθνήσκουσιν*
*Τῇ πρώτῃ τοῦ Ῥαμαδὰν μηνὸς ἡμέρᾳ (οὗτος γὰρ ὁ μὴν πᾶσι τοῖς Μουσουλμανικοῖς ἅγιός ἐστιν) τριάκοντα καὶ τέσσαρες ἐν τῷ Βαγδὰδ τέτταρσι τρομοκρατικαῖς προσβολαῖς τῇ Δευτέρῃ ἀπέθανον, καὶ μὴν δώδεκα τούτων ἐν τῇ ἐπὶ τὴν τοῦ Ἐρύθρου Σταυροῦ ἕδραν προσβολῇ ἀπέθανον· πρὸς δὲ τούτοις διακόσιοι καὶ τεσσαράκοντα ἄνθρωποι ἐτρώθησαν.*

*κατὰ μὲν τοὺς Ἀμερικανοὺς ἡγεμόνας, οἱ τρομοκρατισταὶ κατὰ τὸ εἰκὸς ξένοι μισθοφόροι εἰσίν, ὁ δὲ πρόεδρος Γ. Βοῦιξ εἶπεν ὅτι οἱ τρομοκρατισταὶ τοὺς συμμάχους οὐ φοβήσοιεν.*

**North Korea regime unstable**
(31-10-03)

*Ἡ τῆς Βορεαίας Κωρέας κατάστασις ἀστάθμητος τυγχάνει οὖσα*
*Ὁ Οὐὰγγ, ἀκρότατος τῶν ἀρχόντων τῶν ἐκ τῆς Βορεαίας Κωρέας εἰς τὴν Ἑσπέραν ἐκφυγόντων, εἴρηκεν τήμερον ὅτι αὕτη ἡ κατάστασις ἀστάθμητός ἐστιν οὐδὲ δεῖ μετ' αὐτῶν σπονδὰς ποιεῖσθαι ἵνα τὸ ἀτομικὸν πρόγραμμα παύῃ· ὁ δὴ Οὐὰγγ ἤδη ἕκτον ἔτος ἐκφυγὼν διαβεβαιοῦται ὅτι αἱ τοῦ δικτάτορος Κὶμ Ἰόγγ ὑποσχέσεις οὐδενὸς ἄξιαί εἰσιν (ἦ μὴν αἱ τίνος δικτάτορος ὑποσχέσεις ἄξιαί ποτε ἐγένοντο;).*

*Ὁ δὲ Οὐὰγγ κακῶς περὶ τοῦ Γ. Βοῦιξ εἶπεν ἅτε μετὰ τῆς Β. Κωρέας ὁμολογίαν περὶ τοῦ μὴ ἀλλήλους ἐπιπίπτειν ὑπογράφειν βουλομένου· ὁ μὲν γὰρ Γ. Βοῦιξ ταύτην τὴν ὁμολογίαν ὑπογράφειν βούλεται, μόνον δὲ εἰ ἡ Β. Κωρέα τὸ ἀτομικὸν πρόγραμμα παύει.*

*οὐδένα δὲ λανθάνει αὕτη ἡ κατάστασις περιγίγνεσθαι πειρωμένη· τίς δὴ αὐτῇ τέλος θήσει; ἴσως δὲ*

*αὐτὴ μόνη ἑαυτὴν ἔδεται; δῆλον ὅτι ὁ χρόνος δείξει.*

**"Sick" cruise ship leaves Greece**
(31-10-03b)

*<u>Ἡ νοσοῦσα ναῦς ἀπὸ τῆς Ἑλλάδος ἀποπλεῖ</u>*
*Ἡ Ἀγγλικὴ ναῦς Αὐρώρα σχεδὸν δισχιλίους Ἀγγλικοὺς τουρίστας φέρουσα τήμερον ἐκ τοῦ Πειραιέως ἐξέπλευσεν· μολύνσεως γὰρ ἐν τῇ νηὶ γενομένης, τετρακόσιοι καὶ τριάκοντα ἐπιβάται τὴν γαστέρα ἔτι καὶ νῦν νοσοῦσιν· ἐπειδὴ μὲν οἱ ἰατροὶ τοὺς νοσοῦντας ἐπεσκέψαντό τε καὶ φάρμακα ἔδοσαν, ἡ ναῦς ἐκπλεῖν ἐδυνήθη, τῆς δὲ νεὼς ἐν τῷ λιμένι μενούσης, οἱ ἐπιβάται οὐκ ἐξέβησαν, οὐ γὰρ ἐξουσίαν ἡ Ἑλληνικὴ ἀρχὴ ἔδωκεν.*

*τὰ μὲν τῆς νόσου συμπτώματα ἔμετοί τε καὶ διάρροια, τὸ δὲ τοῦ ἰοῦ ὄνομα Νόρβαλκ ἐστίν.*

*ἡ μὲν ναῦς ἀπὸ τοῦ Σουθάμπτον τῆς παρελθούσης ἑβδομάδος ἐξέπλευσεν, πλεῖ δὲ νῦν ἐπὶ τοῦ Γιβραλτάρ.*

**Police come under attack in Brazil**
(03-11-03)

*<u>Οἱ φύλακες προσβολὰς παντοίας ἐν τῷ Βρασὶλ πάσχουσιν</u>*
*Δύο φύλακες χθὲς ἀπέθανον καὶ ἑπτὰ ἐτρώθησαν ἐν τῇ προτευούσῃ Σάῳ Παύλῳ πολλῶν παρανόμων συναρμοττόντως προσβαλλόντων· οἱ γὰρ προσβάλλοντες βολίδας τε ἐπὶ τοὺς φύλακας ἐπυροβόλησαν καὶ ἐπὶ τὰ τῶν φυλάκων αὐτοκίνετα χειροβόμβας ἔρριψαν.*

*ἥδε δὲ ἡ αἰτία· τῇ Κυριακῇ ἔνιοι δεσμῶται ἐκ τοῦ ἐν τῷ Σάῳ Παύλῳ δεσμωτηρίου ἐκφυγεῖν μὲν ἐπείροντο, τούτου δὲ οὐκ ἐπέτυχον· αὗται οὖν αἱ προσβολαὶ ἐκ τῶν εἰκότων τιμωρία μὲν εἰσίν, ἐκελεύσθησαν δὲ ὑπὸ τῶν ἐν τῷ δεσμωτερίῳ κειμένων ἀρχόντων.*

*καὶ δὴ καὶ οὐ τὸ πρῶτον οἱ φύλακες προσβολὰς συναρμοττόντως πάσχουσιν, πρὸ τοῦ γὰρ ἤδη τὸ αὐτὸ ἐγεγένητο· τὸ δὴ πολιτικὸν κατάστημα ἐν ταύτῃ τῇ χώρᾳ ἐπιμεμπτέον ἐστίν.*

**USS Nimitz home from Iraq deployment**
(05-11-03)

*<u>Ἡ τριήρης Νίμιτζ οἴκαδε ἐκ τῆς παρὰ τῷ Ἰρὰκ ἀναπτύσεως ἐπανέπλευσεν</u>*
*Ἡ τριήρης Νίμιτζ ἑξακισχιλίους ναύτας φέρουσα ἀνάπτυσιν ὀκτὼ μῆνας τὸ μῆκος ἤνυσεν, διὰ δὲ τοῦτο ἐν τῷ τοῦ Σὰν Διέγω λιμένι πλείονες ἢ μύριοι πολῖται αὐτοὺς ἐδέξαντό τε καὶ ἠσπάσαντο· καὶ δὴ καὶ ἐκ τούτων τῶν ἑξακισχιλίων ναυτῶν τρεῖς καὶ εἴκοσι καὶ ἑκατὸν μέχρι τῆς ἀναπτύσεως νεοὶ πατέρες ἐγέοντο, ὅτε μὲν γὰρ ἐξέπλευσαν αἱ γυναῖκες αὐτῶν ἔτι ἐκύουν, νῦν δὲ τοὺς ἑαυτῶν παῖδας πρῶτον ἀναίρουσιν· αἱ δὲ γυναῖκες εἶπον ὅτι χαλεπώτατον εἴη ἐν ᾧ οἱ ἄνδρες πρὸς αὐτὰς διαλέγεσθαι οὐκ ἐδύναντο ἅτε ἐν ἐκείνῳ τῷ καιρῷ μαχόμενοι.*

*ἡ δὴ τριήρης Νίμιτζ μία ἐκ ὀκτὼ τριηρῶν ἐστὶν παρὰ τῷ Ἰρὰκ παραπλεουσῶν.*

**MacDonald points All Blacks to win**

(08-11-03)

*Ὁ ΜακΔόναλδ τοὺς Παντας Μέλανας εἰς τὴν νίκην ἄγει*

*Ἡ Νέα Ζηλάνδια οἷα ἐν τῇ Μελβούρνῃ παντελῶς ἐν τῷ ἀγῶνι κρατοῦσα τὴν Νοτίαν Ἀφρικὴν ἐκ τοῦ παγκοσμίου Ῥοῦγβι πρωταθλήματος ἐξέβαλεν, τοῦ ἀποτελέσματος εἴκοσι καὶ ἐννέα - ἐννέα ὄντος, καὶ τῇ ἐπιγιγνομένῃ ἑβδομάδι ἐπὶ τὴν Αὐστραλίαν, τὴν ἐντόπιον ὁμάδα, ἀγωνίσεται.*

*ὁ μὲν κέντρος Λέων ΜακΔόναλδ τοὺς Παντας Μέλανας ἡγεμόνευσεν, ἑκκαίδεκα γὰρ βαθμῶν ἐπέτυχεν, ἡ δὲ νίκη πολὺ μείζων ἐγένετο ἄν, εἰ οἱ Παντες Μέλανες τῇ πρώτῃ ἡμίσει τοῖς ἀγαθοῖς καιροῖς ἐχρήσαντο.*

*ἔπειτα δὲ ἡ Αὐστραλίᾳ τὴν Σκοτίαν τριάκοντα καὶ τρεῖς - ἑκκαίδεκα ἐνίκησεν.*

**Ronaldhino, KO 5 weeks due to injury**
(11-11-03)

*Ὁ Ῥοναλδίνω, πέντε ἑβδομάδας τετρώμενος τραύματος ἕνεκα*

*Ὁ ποδοσφαιριστὴς Ῥοναλδίνω τῷ Σαββάτῳ ἐπὶ τὸ Βέτις ἀγωνιζόμενος δυστυχῶς ἐτρώθη, ἀλλὰ οὐδεὶς μὲν ἐναντίος ποδοσφαιριστὴς αὐτὸν ἔκρουσεν, αὐτὸς δέ, μόνος πρὸς τὴν σφαῖραν ἐξαίφνης τρέχων, τὸ τραῦμα ἑαυτῷ ἔδρασεν· αὕτη γάρ ἐστιν ἡ αἰτία, ὅτι αἰφνιδίως ἀφώρμησεν.*

*κατὰ οὖν τὸν τῆς Καταλανικῆς ὁμάδος ἰατρόν τὸν Ῥοναλδίνω, ἄριστόν τε καὶ βέλτιστον ποδοσφαιριστὴν τῶν ἐν τῇ Βαρκελόνῃ, πέντε ἑβδομάδας ἀναπαύεσθαι δεήσει· λόγῳ μὲν ἔδει τὸν Ῥοναλδίνω τῇ Τετάρτῃ ὑπὲρ τοῦ Βρασὶλ ἐπὶ τό τε Περοῦ καὶ τὴν Οὐρουγουάην ἀγωνίζεσθαι, διὰ δὲ τοῦτο πρὸς τὸ Βρασῖλ χθὲς ἀπὸ τῆς Βαρκελόνης ἀπῆλθεν, ἔργῳ δὲ οὐκ ἀγωνιεῖται, ὁ γὰρ ἰατρὸς αὐτῷ ἀκολουθεῖ ἵνα τοῦτο κωλύῃ.*

*ὁ δὲ Ῥοναλδίνω, εἴκοσι καὶ τρία ἔτη γεγονώς, εἰς τὴν Βαρκελόνην ἀπὸ τῆς Παρὶς Σὰν Γερμαὶν τοῦ παρελθόντος θέρους ἀφίκετο, τὸ δὲ μέγα ἐρώτημα αὕτη ἐστίν· ἆρα δυνατὴ ἔσται ἡ Βαρκελόνη ἄνευ αὐτοῦ ἔτι καὶ νῦν νικᾶν;*

**Ten Commandments judge removed**
(13-11-03)

*Ὁ τῶν Δέκα Ἐντολῶν δικαστὴς ἐξέπεμφθη*

*Ὁ δικαστὴς Ῥοΐ Μοόρη, τῶν ἐν τῇ πόλει Ἀλαβάμᾳ δικαστῶν πρόεδρος, τῇ Πέμπτῃ τοῦ ἔργου ἀπεστέρησεν οἷα ἀφαιρεῖν μνημεῖον εἰς τὰς Δέκα Ἐντολὰς ἀνειμένον οὐκ ἐθέλων.*

*οὗτος μὲν ὁ δικαστὴς τὸ μνημεῖον ἤδη δεύτερον ἔτος ἀνέστησεν, εἶπε γὰρ ὅτι τοῦτο τῶν Δέκα Ἐντολῶν σύμβολόν ἐστιν, ἄλλοι δὲ πολῖται ἐπὶ τοῦτο ἠγανάκτησαν· ἔπειτα δὲ ὁ μὲν ἀρχικὸς τῆς πρωτευούσης Βάσιγγτον δικαστὴς ἐκέλευσεν αὐτὸ ἀφαιρεῖσθαι, ὁ δὲ Ῥοΐ Μοόρη ἐνηκούστησεν, εἶπε μέντοι ὅτι τούτου οὐ μεταμέλοι· ἐρωτηθεὶς πότερον αὕτη ἡ ἑαυτοῦ ἀσχημοσύνη παρανόμημά ἐστιν ἢ οὔ, ἀπεκρίνατο ὅτι τοιούτοις ἀρχικοῖς δικασταῖς πείθεσθαι οὐ δέοι.*

**Wilkinson kicks England into Rugby World Final**
(16-11-03)

*Ὁ Οὐίλκινσον τὴν Ἀγγλίαν εἰς τὸ Παγκόσμιον Ῥοῦγβι Τελικὸν τῷ ποδὶ εἰσβάλλει*
*Οἱ Εὐρωπαϊκοὶ προστάται ἐπὶ τοὺς ἐν τῷ νῦν παγκοσμίους προστάτας, τὴν Αὐστραλίαν, τῷ ἐπιγιγνομένῳ Σαββάτῳ ἐν τῷ Σίδνει ἀγωνιοῦνται.*

*ἡ μὲν Γαλλὴ ὁμὰς τὴν μόνην ἐπαφὴν ἔδρασεν, πολλάκις δὲ παρὰ τὸν νόμον ἀγωνιζομένη καὶ ἀδικίας συνωχαδὸν ἀδικοῦσα πολλοὺς καιροὺς τῇ Ἀγγλικῇ ὁμάδι ἔδωκεν ἵνα ὁ Οὐίλκινσον πολλῶν βαθμῶν τύχοι· καρτερῶς ἢ μὴν ὕεν, αἱ δὲ δύο ὁμάδες συνεχῶς τὴν ᾠώδη σφαῖραν τῷ ποδὶ ἔβαλλον, οὐ γὰρ δυνατὸν ἦν τῇ χειρὶ αὐτὴν φέρειν.*

*ὁ μὲν Κλίβη Οὐούδουαρδ, ὁ τῆς τοῦ ῥόδου ὁμάδος προπονητής, εἶπεν ὅτι οἱ Ἀγγλικοὶ ἀγωνισταὶ τὸν νοῦν ἤδη πρὸς τὸν ἐπιγιγνόμενον ἀγῶνα προσέχοιεν, οὐ γὰρ δεύτεροι γενέσθαι βούλοιντο, ὁ δὲ Βερνάρδ Λαπόρτε, ὁ τῆς Γαλλίας προπονητής, διεβεβαιώσατο ὅτι ὁ μὲν ὑετὸς αὐτοῖς οὐ βοηθήσειεν, τοῦτο δὲ πρόφασις οὐκ εἴη.*

**Arnold Schwarzenegger takes office in California**
(18-11-03)

*Ὁ Ἄρνολδ Σβαρζεννέγηρ ἤδη τῆς Καλιφορνίας ἄρχει*
*"Τοῦ τε ὅρκου καὶ ὑμῶν οὐκ ἐπιλήσομαι".*

*ταῦτα εἰπὼν ὁ Α. Σβαρζεννέγηρ, Αὐστριακὸς τὸ γένος, ἄρχων τῆς Καλιφορνίας χθὲς ἐγένετο· ὁ δὲ νέος ἀρχῶν, πεντήκοντα καὶ ἓξ ἔτη γεγονώς, τοὺς πολίτας ᾔτησε τὰς παροιτέρας ἔχθρας ἀπολείπειν, τὸν γὰρ πρότερον ἄρχοντα ὠστράκισάν τε καὶ ἐκ τῆς ἀρχῆς ἐξέβαλον ἅτε τοὺς φόρους αὐξάνειν μέλλοντα.*

*ὁ μὲν νέος ῥεπουβλικανὸς ἄρχων εἶπεν ὅτι πάντα αὕτως πράττεσθαι οὐκ ἐθέλοι, ἀλλὰ διαφερόντως, νῦν δὲ χρῇ τὸν Τερμινάτωρ πολλοῖς προβλήμασι ἀπαντᾶν, ἡ γὰρ τῆς Καλιφορνίας ἀρχῆς σπουδῇ χρημάτων δέεται· ὁπόθεν μὲν τὰ χρήματα ταῦτα ἥξει οὐδεῖς οἶδεν, ὁ δὲ Ἄρνολδ διεβεβαιώσατο ὅτι τὴν οἰκονομικὴν τρώγλην πλήσοι· τοῦτο δὴ χαλεπώτερον ἔσται ἢ πρὸς τοὺς ῥοβότας μαχέσθαι.*

**Georgians brace for huge protest**
(21-11-03)

*Οἱ τῆς Γεωργίας πολῖται ἀντιλέξοντες συμβαίνουσιν*
*Πολλοὶ χίλιοι πολιτῶν ὡς ἐπὶ τὴν νέαν ἀρχῆν τῆς Βουλῆς ἐναντίον διαδηλωσόμενοι τήμερον εἰς τὴν πρωτευούσην Τβιλίσι συνέβησαν ἵνα ἐπὶ τὸν Ἔδουαρδ Σιεβαρνάζε ἀντιλέγοιεν.*

*οἱ μὲν διαδηλωσόμενοι ἐν νῷ ἔχουσιν τὴν τῆς νέας ἀρχῆς σύνταξιν τῷ Σαββάτῳ κωλύειν, τὸ δὲ οἰκοδόμημα τὸ τοῦ προέδρου καταλαβεῖν ἐννοοῦσιν, καίπερ νῦν ὑπὸ φυλάκων τε πολλῶν καὶ στρατιώτων καρτερῶς φυλαττόμενον· ὅμως δὲ καὶ ἄλλοι ἀντιδιαδηλωσόμενοι εἰς τὸ Τβιλίσι ἀφίκοντο, οὗτοι δὴ τῇ μὲν ἀρχῇ ὑπάρχουσιν, τοὺς δὲ ἄλλους ἀπὸ τοῦ οἰκοδομήματος ἀπαλλάτειν βούλονται.*

*ἡ δὲ τῆς ἁμίλλας γένεσις ἐκ τῆς τῇ δευτέρῃ τοῦ Νοεμβρίου ἐκλογῆς ἀναβλύει, ἔνιοι μὲν γὰρ λέγουσιν ὅτι τὸ ἀποτέλεσμα ψευδές ἐστιν, οἱ δὲ παγκόσμιοι κατόπται τὸ αὐτὸ διαβεβαιοῦνται.*

*ἡ δὲ τῆς Γεωργίας χώρα, πέντε ἑκατομμύρια οἰκητῶν ἔχουσα, πενεστάτη τῶν ἀρχαίων τῆς ΕΣΚΔ*

*ῥεπουβλικῶν ἐστιν, ὁ γὰρ συνήθης μισθὸς ἓν μόνον δώλαρ καθ' ἡμέραν ἐστίν.*

**Rugby: England, Champion of the World**
(23-11-03)

*Ῥοῦγβι· ἡ Ἀγγλία βελτίστη τοῦ κόσμου γίγνεται*

*Ὁ Οὐιλκίνσων χθὲς τῷ ἐσχάτῳ τῆς χρονικῆς ἐπεκτάσεως λεπτῷ τὴν νίκην τῇ Ἀγγλίᾳ ἔδωκε (εἴκοσι - ἑπτακαίδεκα) τὴν ᾠώδη σφαῖραν τῷ ποδὶ βάλλων.*

*ὁ γὰρ ἀγὼν δραματικὸς ἦν, δραματικώτερον δὲ ἐγίγνετο τῆς τελευτῆς ἀφικνουμένης· τῇ μὲν τῆς πρώτης ἡμίσεως τελευτῇ ἡ Ἀγγλία ἤδη ἐκρατεύει, ἔπειτα δὲ οἱ Αὐστραλιανοὶ τὸν καιρὸν ἀνέλαβον καὶ ἰσοφάρισαν, οὕτως δὴ ἀναγκαία ἦν ἡ χρονικὴ ἐπέταξις.*

*ἡ μὲν Αὐστραλία ἤδη δὶς τὸ παγκοσμῖον πρωτάθλημα ἠνέγκατο, ἡ δὲ Ἀγγλία χθὲς τὸ πρῶτον τούτου τοῦ τροπαίου ἔτυχεν.*

**Thousands gather to honour J. F. Kennedy**
(23-11-03b)

*Πολλοὶ χίλιοι συναθροίζονται ὡς τὸν Ι. Φ. Κέννεδι τιμήσοντες*

*Ἤδη τετταρακοστὸν ἔτος τοῦτο ὁ Ἀμερικανὸς πρόεδρος Ι. Φ. Κέννεδι ἐν ταῖς Δάλλαις ἀπέθανεν, πολλαὶ δὲ βίβλοι καὶ κινηματογραφικὰ ἔργα περὶ τούτου τοῦ φόνου διέρχονται· ὁ μὲν Λὲε Ὄσβαλδ τὸν πρόεδρον ἀπέκτεινεν, διὰ τί δὲ ἔτι καὶ νῦν οὐδεὶς οἶδεν, ὁ γὰρ Ὄσβαλδ καὶ οὐ πολλοῦ ὕστερον ἀπέθανεν· ἄλλοι μὲν λέγουσιν ὅτι τοῦτο ἐπιβούλευμα ἦν (λέγουσιν μέν, δῆλον δὲ ὅτι τοῦτο οὐ νομίζουσιν ἀληθὲς εἶναι), ἄλλοι δὲ ὅτι πᾶν εὔδηλόν ἐστιν (οὐδὲν ἐπιβούλευμα).*

*χθὲς δὲ ἐν ταῖς Δάλλαις πολλοὶ χίλιοι συναθροίζονται ὡς τὸν πρόεδρον Κέννεδι τιμήσοντες· οἵ γε πόλλοι εἰς τὴν ὁδὸν ἐβαίνοντο, ἀκριβῶς δὴ εἰς τὸν τόπον οὗπερ ὁ Κέννεδι ἀπέθανεν· ἔνιοι μὲν τῶν παρόντων ἔτι παῖδες ἦσαν τότε καὶ τοῦ ἀγγέλματος μιμνήσκονται, ἄλλοι δὲ οὐκέτι ἐγεγόνεσαν, ὅμως δὴ καὶ πάντες τοῦτο τὸ ἐρώτημα χθὲς ἠρώτων, ἆρα πῶς αἱ ΗΑΠ εἴησαν ἂν νῦν, εἰ ὁ Κέννεδι οὐ τότε ἀπέθανεν;*

**Album Lennon signed for killer for sale**
(28-11-03)

*Ὁ δίσκος ὃν ὁ Λέννων τῷ φονεῖ ὑπέγραψε δημοσίως πωλεῖται.*

*Ὁ Δάβιδ Σιάπμαν, ὃ νῦν ἐν τῷ δεσμωτηρίῳ κεῖται, τὸν Λέννων ᾔτησε δίσκον ὑπογραφεῖν, πρὶν αὐτὸν ἀποκτείνειν, τούτου δὲ τυχὼν μετὰ πέντε ὥρας τὸν ᾠδὸν ἀπέκτεινεν.*

*ταῦτα μὲν ἐν τῷ Μανγάτταν νῦν ἤδη εἰκοστὸν καὶ τρίτον ἔτος συνέβη, ὁ δὲ δίσκος φαίνεται τὰ δακτυλικὰ τοῦ φονέως ἴχνη διατηρεῖν, διὰ δὲ ταῦτα συλλέκτης τις τὸν μὲν δίσκον ἤδη πέμπτον ἔτος ἐπρίατο, νῦν δὲ αὐτὸν πωλεῖν βούλεται, διὰ τί δὲ οὐκ εἶπεν· ἴσως δὴ τὸ διπλοῦν ὦνον νῦν κερδανεῖν ἐλπίζει.*

**Glaciers could melt within one century**
(02-12-03)

Οἱ παγετώνες μίας ἑκατονταετίας κατατήξεσθαι μέλλουσιν

Οἱ παγετώνες μίας ἑκατονταετίας κατατήκοιντο ἄν, κατὰ τοὺς ἐπιστημόνας· ἐὰν δὲ τοῦτο γένηται, πολλὰ μὲν ἀνθρώπων ἑκατομμύρια τὸ ὕδωρ ἀφαιρεθήσονται, πολλαὶ δὲ νῆσοι ἀφανίσονται· τοῦτο οὖν γενήσεσθαι μέλλει τῆς ὅλης γεωλογικῆς θερμάνσεως ἕνεκα.

ἡ δὴ ἐν τῷ Κιώτῳ ὁμήγυρις οὐδὲν κατηργάσατο (ὡς νομίζεται, πῶς γὰρ οὔ;), αἱ γὰρ ΗΑΠ καὶ ἡ Ῥωσσία σπονδὰς ποιῆσαι ἀπεδοκίμασαν· μετὰ δὲ ἑκατὸν ἔτη δεήσει ἡμᾶς μὲν μόνον οἶνον ἢ Κώκα-Κώλα πίνειν (ὕδωρ γὰρ οὐχ σχήσομεν), τοὺς δὲ τουριστὰς τὸν Εἰφφὴλ πύργον ὑπὸ τῆς θαλάττης ἐπισκοπεῖν (ἡ τουριστικὴ περίοδος ἐκ τοῦ ἄκρου ἄρξεταί τε καὶ ἐκεῖ πέρας σχήσει, οὐδὲ ἐναντίως, ἐκ τῆς ἕδρας, ὡς τὸ νῦν).

**USA eyes return to the moon - Rumsfeld vows to support Georgia - Taiwan plans missile vote**
(06-12-03)

Αἱ ΗΑΠ πρὸς τὴν σελήνην ἐπανελθεῖν βούλονται

Ἡ Σίνα ἄνθρωπόν τινα πρὸς τὴν σελήνην πέμψαι βούλεται, ἀκριβῶς δὴ τῶν ἐπιγιγνομένων εἴκοσι ἐτῶν· τῆς οὖν Ἀσιατικῆς χώρας τοῦτο ποιῆσαι βουλομένης, αἱ ΗΑΠ τοῦ αὐτοῦ (πάλιν) ἐπιτυγχάνειν βούλονται, αὖθις δή, ἤδη γὰρ τριακοστὸν καὶ πρῶτον ἔτος ὁ ἔσχατος Ἀμερικανὸς ἀστροναύτης ἐπὶ τῇ σελήνῃ ἐβάδιζεν.

Ὁ Ῥούμσφελδ τῇ Γεωργίᾳ βοηθήσειν ὑπισχνεῖται

Ὁ τῆς ἀμύνης ὑπουργὸς Ῥούμσφελδ τῇ Γεωργίᾳ βοηθεῖν βούλεται, τὴν δὲ Ῥωσσίαν ἐποτρύνει ἵνα τοὺς ἑαυτῆς στρατιώτους ἐκ ταύτης τῆς ῥεπουβλικῆς ἐξάγῃ· τοῦ δὲ Σιεβαρνάζε ἐκ τῆς ἀρχῆς ἐξελαθέντος, ἡ νέα ἐκλογὴ τῇ τετάρτῃ τοῦ Ἰανναρίου ἡμέρᾳ τεύξεται.

Τὸ Ταιουὰν ἐν νῷ ἔχει ἐκλογὴν περὶ τῶν πυραύλων ποιεῖσθαι

Ὁ τοῦ Ταιουὰν πρόεδρος ἐκλογὴν ποιεῖσθαι περὶ τῶν Σινικῶν πυραύλων βούλεται τῆς νήσου στοχαζομένων, ἡ μὲν γὰρ Σίνα τοῦ Ταιουὰν κρατεῖν, ἡ δὲ νῆσος αὐτόνομος καταστῆναι βούλεται· ἡ δὴ Σίνα καὶ τὸ Ταιουὰν μετὰ οἰκεῖον πόλεμον ἤδη πεντηκοστὸν καὶ τέταρτον ἔτος ἀφεστάθησαν.

**Greece convicts terror leaders - Russia vote criticized - Judge blocks ghost fleet project**
(08-12-03)

Ἡ Ἕλλας καταδικάζει τῶν τῆς τρομοκρατίας ἡγεμόνων

Οἱ Ἑλληνικοὶ δικασταὶ πεντεκαίδεκα μὲν τρομοκρατῶν κατεδίκασαν χθές, τέτταρες δὲ ἀπέφυγον· οἱ μὲν γὰρ φεύγοντες εἰς τὴν τρομοκρατικὴν σύστασιν "Επτακαιδεκάτη Νοεμβρίου" ἀνήκουσιν, ἄλλοι δὲ ἄλλας κακουργίας ἐποίησαν, αὐτίκα δὴ βόμβας ἔθεσαν ἢ πολιτικοὺς πολεμίους ἀπέκτειναν.

Ἡ Ῥωσσικὴ ἐκλογὴ μέμψιν λαμβάνεται

Τὸ τοῦ Βλάδιμιρ Ποῦτιν πολιτικὸν κόμμα τῇ Κυριακῇ ἐν τῇ ἐκλογῇ πολλῷ ἐνίκησεν, οἱ δὲ κατόπτοι, ἐκ πολλῶν χωρῶν ἀφικόμενοι, λέγουσιν ὅτι ὁ Ποῦτιν τὴν νίκην ἐκιβδήλευσεν· διαβεβαιοῦσιν γὰρ ὅτι ἡ ἐκλογὴ ἐλευθερὴ μὲν ἦν, οὐ μέντοι δίκαια, ὁ γὰρ πρόεδρος τοῖς δημοσίοις χρήμασι ἔχρητο ἵνα πολιτικὴν δημοσιότητα ὑπὲρ ἑαυτοῦ ποιοίη.

Δικαστής τις τὸ περὶ τοῦ φαντασιαστικοῦ ναυτικοῦ ἔργον παύει

Βρεταννικὸς δικαστὴς τις ἐκώλυσε τέτταρας 'Αμερικανὰς ναῦς ἐν τῇ 'Αγγλίᾳ διαρταμηθῆναι· αἱ μὲν γὰρ ΗΑΠ ἑκατὸν καὶ πεντήκοντα ναῦς ἔχουσι ἤδη καταγηρασκούσας, ἐν τῷ ποταμῷ 'Ιάμης (ἐν τῇ Βιρζινίᾳ) ἐν ἀγκυρουχίᾳ κειμένας, συγγραφὴν δὲ ἐποίησαν ἵνα αὗται αἱ νῆες ἐν τῇ 'Αγγλίᾳ διαρταμηθεῖεν.

**Largest prime number discovered - Almost half new Iraqi army quits - French ports closed for second day**
(11-12-03)

<u>Τὸν μακρότατον πρῶτον ἀριθμὸν εὑρίσκουσιν</u>

Ὁ Μίκηλ Σιάφηρ, εἴκοσι καὶ ἓξ ἔτη γεγονώς, μαθητὴς ὢν ἐν τῷ τοῦ Μίζιγαν πανεπιστημίῳ, τοῦτον τὸν ἀριθμὸν ηὗρεν, πλείονα δήπου ἢ ἓξ ἑκατομμύρια στοιχεῖα ἔχοντα· ἵνα δὴ οὖν αὐτὸν εὕροι, ὁ Σιάφηρ ὡσεὶ διακοσίους καὶ ἕνδεκα χιλίους ὑπολογιστὰς συνῆψεν.

<u>Σχεδὸν τὸ ἥμισυ τὸ τοῦ νέου 'Ιρακίου στρατεύματος ἀπαρνεῖται</u>

Οἱ 'Ιράκιοι στρατιῶται τοῦ μισθοῦ μέμφονται, μικροῦ ὄντος, τὰ δὲ τῶν 'Αμερικανῶν λοχαγῶν κελεύματα οὐ φιλοῦσιν· διὰ δὲ ταῦτα ἡ 'Αμερικανὴ ἀρχὴ πειρᾶται ὡς τάχιστα 'Ιρακίους λοχαγοὺς τῇ στρατιᾷ προστῆσαι, λέγουσι δέ τινες ὅτι δεῖ ἐνίους τοὺς παροιτέρους τοῦ Σαδδὰμ στρατιώτας παρακαλῆσαι, ἴσως δὴ τούτοις οἱ νέοι στρατιῶται πείσονται.

<u>Οἱ Γάλλοι λιμένες ἤδη τὴν δευτέραν ἡμέραν κέκλεινται</u>

Αἱ ὁλκάδες μεταξὺ τῆς Γαλλίας καὶ τῆς 'Αγγλίας πλέουσαι οὐκέτι πλέουσιν, οἱ γὰρ τῶν λιμένων ἐργασταὶ ἀπεργοῦσιν, ἥδε δὲ ἡ αἰτία· ἡ Γάλλη ἀρχὴ ψήφισμά τι περὶ τῆς ναυτιλίας γράφειν βούλεται, ὃ οἱ ναῦται κάκιστον εἶναι νομίζουσιν· καὶ δὴ καὶ ἔνιοι 'Αγγλικοὶ ἐργασταὶ τῇ ἀπεργασίᾳ συνεστήκασιν.

**Saddam Hussein has been captured - Pavarotti gets married with his former secretary**
(14-12-03)

<u>Ὁ Σαδδὰμ Οὐσσεὶν ᾕρηται</u>

Χθὲς ὁ Σαδδὰμ Οὐσσεὶν ἐν τῇ πόλει Τίκριτ ὑπὸ τῶν συμμάχων ᾑρέθη· ὁ μὲν τὸ πάρος ἡγεμὼν ἐν οἴκῳ ἔξω τῆς πόλεως κειμένῳ κατέκρυπτεν, νῦν δὲ ἐπὶ τοῖς συμμάχοις κεῖται· οὐδεὶς δὴ ἀκριβῶς ᾔδει πότερον ὁ Σαδδὰμ ἐτεθνήκει ἢ οὔ· καὶ δὴ καὶ λέγει ὁ 'Αμερικανὸς φερέφωνος ὅτι τοῖς στρατιώταις αὐτὸν καταλαμβανοῦσιν οὐκ ἀντέσχη· κατὰ τὸ εἰκὸς ὁ Σαδδὰμ ἐν τῷ 'Ιρὰκ ὑπὸ τοὺς 'Ιρακίους δικασθήσεται.

ὁ δὲ τῶν ΗΑΠ πρόεδρος Γ. Βοὺιξ εἶπε τήμερον ὅτι αἱ ἐπὶ τοὺς 'Αμερικανοὺς στρατιώτας ἐπιβολαὶ οὐ μὲν τελευτήσοιεν, μειώσοιντο δέ, τῶν γὰρ 'Ιρακίων τῆς προτέρης ἀρχῆς οὐδέποτε ἐπανελθεῖν ἐχούσης τελευταίως αἰσθανομένων· μετὰ δὲ ταῦτα ὁ 'Αμερικανὸς τριῶν ἀστέρων στρατηγὸς 'Ρικάρδω Σάνζηθ φωτογραφίας μέν τινας τοῦ Σαδδὰμ ἔδειξεν, εἶπε δὲ ὅτι ἰατρὸς τὸν Σαδδὰμ ἐξετάσειεν.

<u>Ὁ Παβαρώττι τὴν ἑαυτοῦ γραμματευτρίδα γαμεῖ</u>

Ὁ 'Ιταλιανικὸς ἀοιδὸς Λουκιανὸς Παβαρώττι χθὲς τὴν Νικολέτταν Παντοβάννι ἔγημεν· ὁ μὲν Παβαρώττι ἤδη ἐγεγαμήκει, τὴν δὲ ἄκοιτιν "Αδυαν ἀπέλιπεν· αὐτῷ μὲν οὖν ἤδη τρεῖς θυγατέρας εἰσὶν ἐκ τῆς 'Αδύας, ἐκ δὲ τῆς Νικολέττας ἐστὶν μία θυγάτηρ αὐτῷ.

τοῦ γάμου ἐν τῇ Μωδένᾳ γενομένου, ὁ ἀοιδὸς εἶπεν ὅτι ἔτι δύο ἔτη ᾄσοιτο πρὶν τῆς ἐργασίας

ἐρωεῖν.

**UK sets out airport expansion plan - Scientist creates world's largest book - Milosevic petulant at trial**
(16-12-03)

<u>*Ἡ Ἀγγλία διάνοιαν περὶ τῆς τῶν ἀερολιμένων αὐξήσεως προστίθησιν*</u>

*Ἡ μὲν Ἀγγλία τὸν τοῦ Στάνστεδ ἀερολιμένα αὐξήσειν μέλλει, ὅμως δὲ ἡ σύστασις Βρίτιζ Αἴρβαις τὸν τοῦ Ἕθροβ ἀερολιμένα αὐξάνεσθαι προαιρεῖται καὶ δὴ δίκην λήξεται τοῖς ἐν τέλει ἐὰν τὸ Στάνστεδ τοῦ Ἕθροβ προτιμῶσιν· καὶ οἱ περὶ τοῦ Στάνστεδ οἰκοῦντες κατὰ τῆς αὐξήσεως προφέρονται.*

<u>*Ἐπιστήμων τις τὴν μεγίστην τοῦ κόσμου βίβλον ἐργάζεται*</u>

*Ὁ Μιχαὴλ Αὔλει, ὁ ἐν Μασσαζιούσσεζ (ΗΑΠ) οἰκῶν ποιητής, λέγει ὅτι ταύτην τὴν βίβλον οὐ δεῖ πρὸς τὸ στρῶμα λαβεῖσθαι, εἰ μή τις ἐν νῷ ἔχει ἐπ' αὐτῇ καθεύδειν· ἡ βίβλος, ἓν μέτρον τὸ εὖρος καὶ ἑκατὸν καὶ πεντήκοντα ἑκαστοτόμετρα τὸ ὕψος οὖσα, περὶ τῆς χώρας Βοῦταν διέρχεται.*

<u>*Ὁ Μιλοσέβιζ αὐθαδεῖ ἐν τῷ δικαστηρίῳ*</u>

*Ὁ Μιλοσέβιζ αὐθαδὴς φαίνεται ἐν τῇ δίκῃ, καίπερ πολλῶν ἀνθρώπων ἐπ' αὐτῷ μαρτυρίαν παρέξειν μελλόντων· ὁ μὲν στρατηγὸς Οὐέσλει Κλὰρκ αὐτοῦ καταμαρτυρήσει, ὁ δὲ φεύγων οὐδενὸς ποιεῖται ἅτε οὐδὲν ποιεῖν ἔχων· λέγουσι δή τινες τῶν κατηγόρων ὅτι διὰ τοῦτο αὐθαδεῖ, διότι οὐδὲν ἐπὶ τὸ χεῖρον μεταβάλλεσθαι δύναται, καταδίκῃ γὰρ δεινῇ περιπέσεται.*

**Israel strikes Hezbollah targets - Shiites demand Saddam's death - Algeria gas explosion kills 2.**
(20-01-04)

<u>*Τὸ Ἰσραὴλ δύο τῆς Ἑθβολλᾶς ἀφορμὰς προσβάλλει*</u>

*Ἰσραηλινὰ μαχητικὰ ἀεροσκάφη τῇ Τρίτῃ δύο τῆς Ἑθβολλᾶς ἀφορμὰς ἐν τῷ Λιβάνῳ προσέβαλον· τῇ γὰρ προτεραίᾳ Ἰσραηλινός τις στρατιώτης ἐν τῷ ὅρῳ ἀπέθανεν. τὸ δὴ Ἰσραὴλ νομίζει τὴν Σιρίαν αἰτίαν εἶναι τῶν τρομοκρατικῶν προσβολῶν ἐκ τοῦ Λιβάνου ὁρμωμένων.*

<u>*Οἱ Σιῖται τὴν τοῦ Σαδδὰμ θανάτωσιν αἰτοῦσιν*</u>

*Μυρίοι Μουσουλμανικοὶ Σιῖται διὰ τῆς πόλεως Βαγδὰδ τῇ Τρίτῃ διεδηλώσαντο τὴν τοῦ Σαδδὰμ θανάτωσιν αἰτοῦντες, ὁ δὴ Σαδδὰμ αὐτοὺς διὰ πολλὰ ἔτη κατεῖχεν, αὐτὸς γὰρ Σουννίτης ἐτύγχανεν ὤν· διαβεβαιοῦνται δὲ ὅτι ὁ Σαδδὰμ αἰχμάλωτος μὲν οὐκ ἐστίν, φονεὺς δέ.*

<u>*Ἀέριον ἀνατινάσσον εἴκοσι ἀνθρώπους ἐν τῇ Ἀλγερίᾳ ἀποκτείνει*</u>

*Τοὐλάχιστον εἴκοσι μὲν ἄνθρωποι ἀπέθανον, ἑβδομήκοντα δὲ καὶ τέτταρες ἐτρώθησαν ἀερίου ἀνατινάσσοντος ἐν τῇ Ἀλγερίᾳ· οὐδεὶς δὲ ἀκριβῶς τὴν τῆς συμφορᾶς αἰτίαν οἶδε ἢ ὁπόσοι δημιουργοὶ ἐν τῇ ἐγκαταστάσει, ἐν ᾗ πετρέλαιον καθαιρεῖται, εἰργάζοντο τότε.*

**Mammoth skull found in UK - Mars rover sends 20 minutes data - Europe to cool as world warms?**
(23-01-04)

<u>*Κρανίον μαμμοῦθ τινὸς ἐν τῇ Ἀγγλίᾳ εὑρίσκουσιν*</u>

*Δύο ἐπιστήμονες κρανίον μαμμοῦθ τινὸς ἐν τῇ Ἀγγλίᾳ ἐξωρύχασιν, τοῦτο δὲ μόνον δεύτερον ἐν ταύτῃ τῇ χώρᾳ εὑρόρηται· λέγουσιν δὲ οἱ ἔμπειροι ὅτι τοῦτο τὸ μαμμοῦθ τριάκοντα μὲν ἢ τετταράκοντα ἔτη τὴν ἡλικίαν, τέτταρες δὲ ἢ πέντε τόννων τὸ βάρος ἦν ὅτε ἀπέθανεν· τὸ δὲ κράνιον κατὰ τύχην εὑρόρηται.*

<u>*Τὸ ἐν τῷ Μάρτι ὄχημα εἴκοσι λεπτὰ σημεῖα πέμπει*</u>

*Ἡ εἰς τὸν πλανήτην Μάρτα πεμφθεῖσα μηχανὴ αὖθις πρὸς τὴν γῆν σημεῖα ἔπεμψεν, οὐ μέντοι πολὺν χρόνον· πρὸ τοῦ δὴ οὐ δυνατὸν ἦν δύο ἡμέρας σημεῖα δέχεσθαι, οὐδεὶς δὲ τὴν αἰτίαν οἶδεν.*

<u>*Τῆς γῆς θερμαινούσης, ἆρα ψυχραίνεται ἡ Εὐρώπη;*</u>

*Ἐνία τῆς Εὐρώπης μέρη ψυχραίνοιντο ἂν εἰ ἡ γῆ θερμαίνεται· τοῦτο δὴ παραδοξία φαίνεται, ἀλλὰ τίς ἡ αἰτία; προσέχε τὸν νοῦν·*

*α'- ἐὰν ἡ γῆ θερμαίνηται, οἱ πόλοι κατατήξονται.*
*β'- ἐὰν οἱ πόλοι κατατήκωνται, ὁ Ἀτλαντικὸς ὠκεανὸς ψυχρότερος γενήσεται.*
*γ'- ἐὰν ὁ Ἀτλαντικὸς ὠκεανὸς ψυχραίνηται, ἡ ῥοὴ ἡ τοῦ Μηξικανοῦ κόλπου, ἣ τὴν Σκανδιναβίαν θερμαίνει, οὐκέτι θερμανεῖ.*

*ὅλον, ὠνετέοι εἰσὶ χιτῶνες πολλοί.*

**Apple's Mac turns 20 - Attack on home for Japan troops - Powell presses Putin on democracy**
(26-01-04)

<u>*Τὸ τῆς Ἄπλης Μάκιντος, ἤδη εἰκόσι ἔτη γεγονός*</u>

*Εἰκοστὸν ἤδη ἔτος ἡ ἐπιχείρησις Ἄπλη τὸν ὑπολογιστὴν Μάκιντος πωλεῖν ἤρξατο· οὗτος μὲν ὁ ὑπολογιστὴς καινὸν ἦν, μικρὸν δὲ πρόσθημα "μῦν" καλούμενον εἶχεν· οἱ δὴ αὐτῷ χρώμενοι πιστοὶ "μακσεβεῖς" γεγόνασιν, τὸ γὰρ Μὰκ τοῖς μὴ τὴν ὑπολογιστικὴν τέχνην φιλοῦσιν ἐποιήθη· μικρὸν μὲν τοῦ πρατηρίου μέρος ἔχει, ἐν δὲ τοῖς πάσης τῆς οἰκουμένης πανεπιστημίοις μάλιστα κρατεῖ.*

<u>*Προσβολὴ ἐπὶ οἰκίαν τοῖς Ἰαπωνικοῖς οἰκοδομηθεῖσαν*</u>

*Κινητικὴ οἰκία τοῖς Ἰαπωνικοῖς στρατηγοῖς ᾠκοδομήθη, χθὲς δὲ προσεβλήθη ἐν ᾧ μετεκινεῖτο· ἐν μὲν τῷ Ἰρὰκ σχεδὸν χίλιοι Ἰαπωνικοὶ στρατιῶται ἔνεισιν, οὐ μέντοι μάχονται ἐν τῷ παρόντι, μόνον γὰρ τοῖς συμμάχοις βοηθοῦσιν.*

<u>*Ὁ Πώβηλ τὸν Ποῦτιν πλείονα δημοκρατίαν ἀπαιτεῖ*</u>

*Ὁ ὑφυπουργὸς Κὼλιν Πώβηλ τῷ Βλαδιμὶρ Ποῦτιν συνῆλθε διότι ἡ δημοκρατία καὶ ἡ παρρησία συνεχῶς ἐν τῇ Ῥωσσίᾳ μιθύνουσιν, αἱ δὲ ΗΑΠ τοῦτο χαλεπῶς φέρουσιν· ὁ δὲ Πώβηλ τῷ Ποῦτιν εἶπεν ὅτι ταύτην τὴν πρόκλισιν ἀμεῖψαι δέοι.*

**Queen Mary 2 arrives in Florida - The boy who won't grow up turns 100 - Patriots and Panthers to play Super Bowl**
(30-01-04)

<u>*Ἡ Βασίλεια Μαρία β' εἰς τὴν Φλορίδαν ἀφικνεῖται*</u>

*Ἡ ναῦς Βασίλεια Μαρία β', μεγίστη τε καὶ τῆς οἰκουμένης τιμιώτατη, τῇ Δευτέρᾳ εἰς τὴν Φλορίδαν ἀφίκετο, οὕτως δὲ τὴν πρώτην ναυτιλίαν ἐτελεύτησεν· δισχύλιοι δὴ καὶ ἑξακόσιοι ἐπιβάται πολλὰ*

*χρήματα ἔτισαν ἵνα ταύτης τῆς ναυτιλίας μετέχοιεν.*

*Ὁ οὐκ αὐξήσων παῖς, ἤδη ἑκατὸν ἔτη γεγονώς*

*Ὁ Πέτηρ Πάν, ὃς πολλαῖς ἀνθρώπων γενέαις ὑπερβεβίωκεν, ἔτι καὶ νῦν νεανικὸς διαγίγνεται· ὁ δὴ γραφεὺς Χ. Βάρριε τοῦτον τὸν χαρακτῆρα ἔπλασεν ἐν τῇ Οὔποτε Χώρᾳ οἰκοῦντα καὶ ἀεὶ λῃστῆρσι μαχόμενον· τίς γὰρ νεανικὸς εἰσαεὶ μένειν οὐκ ἐθέλει;*

*Οἱ Πατριῶται καὶ οἱ Πάνθηρες τῷ Ὕπερ Κρατῆρι ἀγωνίσονται*

*Οἱ τῆς Νέας Ἀγγλίας Πατριῶται καὶ οἱ τῆς Καρολίνης Πάνθηρες τῇ Κυριακῇ τῷ Ὕπερ Κρατῆρι ἐν τῷ Οὔστονι ἀγωνίσονται· καὶ δὴ καὶ λέγουσιν μὲν οἱ ἔμπειροι ὅτι οἱ ἀμύνοντες οἱ τῶν δυοῖν ὁμάδων βελτίονές εἰσιν ἢ οἱ ἐπερχόμενοι, διαβεβαιοῦνται δὲ ὅτι ἴσως ὁ ἀγὼν ἐπιφανὴς οὐκ ἔσται· ὅμως δὲ ἀεὶ μὲν ταὐτὸ μαντεύονται, τέλος δὲ ὁ ἀγὼν κάλλιστος ἐκβαίνει.*

**France debates head scarf ban - Russell Crowe injured on movie set**
(02-02-04)

*Ἡ Γαλλία περὶ τοῦ κεφαλαίου πέπλου βουλεύει*

*Οἱ Γάλλοι δικήγοροι περὶ τοῦ κεφαλαίου πέπλου βουλεύουσιν, πότερον ἀπαγορευτέον ἐστὶν ἐν τοῖς διδασκαλείοις ἢ οὔ· ἄλλοι δὲ βούλονται οὐ μόνον τὸν μουσουλμανικὸν πέπλον ἀλλὰ καὶ πάντα τὰ θρησκευτικὰ σύμβολα ἀπαγορεύειν.*

*Ὁ Ῥοῦσσελ Κρώου ἐν κινηματογραφικῇ πείρᾳ ἐτρώθη*

*Ὁ Ρ. Κρώου τὸν ὦμον ἐτρώθη νέον κινηματογραφικὸν ἔργον πειρῶν ἐν τῷ Σίδνει· ἐν δὴ τούτῳ τῷ ἔργῳ δεῖ τὸν Κρώου πυκτεύειν, τὸ γὰρ ἔργον τὸν πύκτου τινὸς (Χὶμ Βράδδοκ) βίον δηλοῖ· ἀναπαυστέον οὖν ἐστὶ νῦν τῷ "γλαδιατόρι".*

**18 killed in UK tide disaster - West brings Libya in from cold - Saddam's hole to be sealed**
(06-02-04)

*Ἀποθνῄσκουσιν ιζ' ἐν τῇ Ἀγγλίᾳ διὰ τὴν παλιρροίαν*

*Τριάκοντα ἄνθρωποι ἐν τῇ ἀκτῇ μαλάκια ἐλάμβανον, ἡ δὲ παλιρροία ἀπροσδόκητος ἦλθεν· ὅμως δὲ δώδεκα μὲν δύνατοι ἦσαν εἰς τὴν ἤπειρον ἐπανελθεῖν, ὀκτωκαίδεκα δὲ τῷ πηλῷ ἐμποδιζόμενοι κατεπνίγησαν.*

*Ἡ Ἑσπέρα τὴν Λιβύην ἐκ τοῦ κρύους ἀναλαμβάνει*

*Αἱ ΗΑΠ καὶ ἡ Ἀγγλία Λιβύοις πρεσβευταῖς τισὶ συνῆλθον χθὲς ὡς περὶ τῆς ἰδιώσεως ἐροῦντες, ἣν ἡ Λιβύη πάσχει· ἐν γὰρ τῷ Δεκεμβρίῳ διεβεβαιώσατο μὲν ὁ Γαδδάφι ὅτι τά τε χημικὰ καὶ τὰ ἀτομικὰ ὅπλα λείψοι, τοῦτο δὲ τὸ ἄγγελμα ταῖς τε ΗΑΠ καὶ ταῖς ἄλλαις χώραις μάλιστα ἤρεσεν.*

*Ὁ τοῦ Σαδδὰμ κευθμὼν κλειστέος ἐστίν*

*Ἡ τετάρτη τῶν ΗΑΠ στρατιὰ βούλεται τὸν κευθμόνα ἀπολέσαι, ἅτε νῦν τουριστικὸν ἑλκυσμὸν γενομένον, ἀλλὰ οἱ ἐν τῇ ἀρχῇ ἀποκέκρινται ὅτι τὸ μὲν μέλαθρον οὐκ ἀπολέσουσιν, μόνον δὲ κλείσουσιν.*

**Russia election candidate vanishes - First US-born panda heading to China - Haitian cities erupt in violent revolt**

(09-02-04)

<u>Ὑπόψηφός τις Ῥοσσικὸς ἀφανίζεται</u>

Ὁ Ἰβὰν Ῥῦβκιν, πρότερος τῆς Βουλῆς φερέφωνος, ἠφανίσθη τῇ Πέμπτῃ, οὐδεῖς δὲ οἶδε πότερον τέθνηκεν ἢ οὔ· ὁ μὲν Ῥῦβκιν πολλάκις περὶ τοῦ Πούτιν κακῶς εἶπεν, ὅμως δὲ οὐδὲν τεκμήριον κεῖται εἰ ἡ ἀφάνεια πολιτικὸν χρῆμά ἐστιν.

<u>Ὁ πρῶτος ἐν ταῖς ΗΑΠ γενομένος πάνδα εἰς τὴν Σίναν εἶσι</u>

Ἡ ἄρκτος, τέτταρα ἔτη γεγονώς, εἰς τὴν Σίναν ἐλεύσεται, ἡ μὲν γὰρ Σίνα πάλαι δύο ἄρκτους ἔδωκεν, ἄρρηνά τε καὶ θῆλυν, ἡ δὲ Ἀμερικανὴ καὶ ἡ Σινικὴ ἀρχὴ σπονδὰς ἐποιήσαντο ἐφ᾽ ᾧτε οἱ ἐκ ἐκείνων ἔκγονοι εἰς τὴν Σίναν ἀπελεύσοιντο· νῦν δὲ ἡ ἄρκτος ἐν Σὰν Διέγω οἰκεῖ.

<u>Αἱ τῆς Ἀϊτῆς πόλεις βιαίως ἐπανίστανται</u>

Οἱ τῇ ἀρχῇ ἐπανιστάμενοι ἤδη δώδεκα πόλεις κατέχουσιν καὶ τοὐλάχιστον τετταράκοντα ἀνθρώπους ἀπεκτόνασιν· ὅμως δὲ ὁ πρόεδρος Ἀρίστιδε λέγει ὅτι τὴν ἀρχὴν οὐ λείψει.

**Athens paralyzed by snow storms - BA cancels flights on threats - Clone report sparks fresh debate**
(13-02-04)

<u>Αἱ Ἀθῆναι ταῖς νιφοβολίαις κωλύονται</u>

Ἡμιμέτρον χιόνος τὰς Ἀθῆνας τήμερον καλύπτει· νόμιμον μὲν οὐκ ἐστὶ τὰς Ἀθῆνας οὕτως λευκὰς ἰδεῖν, νῦν δὲ τὸ θέαμα ἄξιόν ἐστι πολλοῦ· ἆρα εἶδε ποτὲ ὁ Περικλῆς τὴν Ἀκρόπολιν λευκήν; ὡς εἰκός, τὸ ἀεροδρόμον κλειστὸν μένει.

<u>ΒΑ πτήσεις δύο ἄκυροι διὰ ἀπειλάς</u>

Τὰ δύο ἀεροσκάφη πρὸς τὸ Οὐάσιγκτον καὶ τὴν Σαουδὶ Ἀραβίαν πτήσεσθαι ἔμελλεν, ἀπειλαὶ δὲ τινὲς ὑπὸ τῶν ΗΑΠ ἠκούθησαν, αἳ τὰς πτήσεις ἀκυρῶσαι συνεβούλευσαν· καὶ μὴν οὐδεὶς οἶδε τὴν ἀκριβῆ τῶν ἀπειλῶν γένεσιν.

<u>Τὸ περὶ τῆς διπλασιάσεως ἄγγελμα καινὸν νεῖκος ἐγείρει</u>

Οἱ ἐπιστήμονες οἱ ἐν τῇ Νοτίᾳ Κωρέᾳ εἶπον χθὲς ὅτι ἀνθρωπινοὺς ἐμβρύονάς τινας διπλασιάσαιεν, οὐ μέντοι ἵνα ἀνθρώπους φυτεύσωσιν, ἄλλα ἵνα νόσους ἰατρεύσωσιν· ὅμως δὲ ἄλλοι ἀνθίστανται, λέγουσι γὰρ ὅτι ἐν τῷ ἔπειτα ἔνιοι δυσμενεῖς ἐπιστήμονες τοῖς ἐμβρύοσι χρήσονται ὅπως ἀνθρώπους φυτεύωσιν.

**Marco Pantani has died - Moscow collapse kills 26, fires in China 51 - Six Nations: France beats Ireland in Paris**
(15-02-04)

<u>Ὁ Μάρκο Παντάνι ἀπέθανεν</u>

Ὁ Μάρκο Παντάνι, εὐδόκιμος κυκλιστὴς μόνον τριάκοντα καὶ τέτταρα ἔτη γεγονώς, ἀπέθανε χθὲς ἐν τῷ Ῥίμινι· ὁ μὲν "Πειρατὴς" καλούμενος ἐν τε τῷ τῆς Γαλλίας Τοῦρ καὶ ἐν τῷ τῆς Ἰταλίας Γίρῳ ἐνενίκει, ὁ δὲ βέλτιστος ἦν τῶν ἀνὰ τὰ ὄρη ἀναβαινόντων.

<u>Καταπέσημα ἐν τῇ Μοσκβῇ εἴκοσι καὶ ἕξ, ἐμπρήσεις ἐν τῇ Σίνῃ πεντήκοντα καὶ ἕνα ἀποκτείνουσιν</u>

Εἴκοσι καὶ ἕξ ἀνθρώπους ἀπέθανον χθὲς ἐν τῇ Μοσκβῇ ἐπειδὴ κρυσταλλινὴ ὀροφὴ ἐν ἐνύδρῳ παραδείσῳ κατέπεσεν· ὁ δὲ κωμάρχης εἶπεν ὅτι τὸ σφάλμα πέσοι οἷα πολλοῦ χίονος σωρευθέντος·

*καὶ δὴ καὶ ἐν τῇ Σίνῃ ἐμπρήσεις δύο ἔν τε πωλητηρίῳ τινὶ καὶ ἐν νεῷ πεντήκοντα καὶ ἕνα ἀνθρώπους ἀπέκτανον.*

*<u>Ἐξ Χῶραι· ἡ Γαλλία τὴν Ἰρλανδίαν νικᾷ ἐν τῷ Παρίδι</u>*

*Ὁ Φρεδερὶκ Μιξαλάκ, πεντεκαίδεκα βαθμοὺς ποιήσας, τῶν Γάλλων ἡγεμὼν ἐγένετο, τῆς τελευταίας βαθμολογίας τριάκοντα καὶ πέντε - ἑπτακαίδεκα οὔσης· ἡ δὴ Γαλλία, ἐν τῷ προτέρῳ παγκοσμίῳ ἀγῶνι ὑπὸ τῆς Ἀγγλίας νικηθεῖσα, ἐκείνης τῆς ἥττης ἐπιλανθάνειν πειρᾷ, δῆλον ὅτι.*

**Arnold considers same-sex marriages illegal - Cyprus faces reunification - Boycott threat to Iran poll**
(20-02-04)

*<u>Ὁ Ἄρνωλδ τοὺς ὁμοφύλους γάμους παρὰ τὸν νόμον εἶναι νομίζει</u>*

*Ὁ ἄρχων Ἄρνωλδ Σβαρθενέγηρ διαβεβαιοῦται ὅτι οἱ ὁμόφυλοι γάμοι παράνομοί εἰσιν, ἡ γὰρ τῆς πόλεως Σὰν Φρανθίσκω βουλὴ νῦν τοιούτους γάμους ἄγειν ἐᾷ· αὕτη οὖν νομικὴ μεταξὺ τῆς πόλεως Σ. Φ. καὶ τῆς χώρας Καλιφορνίας ἅμιλλά ἐστιν, ἡ γὰρ πόλις τῇ Πέμπτῃ δίκην τῆς ἀπαγορεύσεως ἔλαχεν ἐπὶ τὴν χώραν.*

*<u>Ἡ Κύπρος τῇ συνάψει ἀπαντᾷ</u>*

*Οἱ τῶν τε Ἑλληνῶν καὶ τῶν Τουρκῶν οἰκούντων ἡγεμόνες χθὲς ἐν τῷ τῆς Νικωσίας ἀερολιμένι συνῆλθον ἵνα αὖθις περὶ τῆς συνάψεως λέγοιεν· ὅμως δὲ τούτου ἐπιτυγχάνειν χαλεπὸν ἔσται, ἄμφω γὰρ τὰς ἑαυτῶν θέσεις λιπεῖν ἀναίνονται· τίς εἴξει;*

*<u>Μεγαλὴ ἄφεξις τὴν Ἰρανίαν ἐκλογὴν ἀπειλεῖ</u>*

*Δεῖ μὲν τήμερον τοὺς Ἰρανίους νέαν βουλὴν ἐκλέγειν, οἱ δὲ Ἰσλαμισται οὐκ ἐῶσι τοὺς νεωτερίζοντας τῆς ἐκλογῆς μετέχειν, διὰ δὲ ταῦτα πολλοὶ πολῖται οὔ φασι ἐκλέξειν· ὁ γὰρ Χατάμι πρῶτον μὲν πολλὰς πολιτικὰς ἀμοιβὰς ὑπέσχετο, καταμέμφονται δὲ οἱ Ἰράνιοι πολῖται ὅτι αὐτὰς οὐκ ἐπετέλεσεν.*

**Nader to run for president as independent - Red Cross visits Saddam**
(22-02-04)

*<u>Ὁ Ῥὰλφ Νάδηρ ὡς αὐτόνομος εἰς τὴν ἀρχὴν ἀγωνίσεται</u>*

*Ὁ μὲν Ῥὰλφ Νάδηρ, συνδικός τις τὸ ἐπιτήδευμα, εἶπεν ὅτι ὑπόψηφος ἐν τῇ ἐπιγιγνομένῃ ἐκλογῇ ἔσοιτο, οἱ δὲ δημοκράται αὐτὸν μέμφονται, λέγουσιν γὰρ ὅτι μόνον πολλὰς ψήφους ἐκ τῆς ἀριστερᾶς λήψοι· ἐκ τῶν εἰκότων οὗτος ὁ σύνδικος οὐδὲν ἄλλο κτήσεται ἢ χρήματα ἀναλίσκειν.*

*<u>Ὁ Ἐρυθρὸς Σταυρὸς τὸν Σαδδὰμ ἐπισκοπεῖ</u>*

*Ὁ Ἐρυθρὸς Σταυρὸς τὸν πρόσθεν δικτατῶρα νῦν αἰχμάλωτος Σαδδὰμ τὸ πρῶτον ἐπεσκέψατο ἐξ οὗ τῷ Δεκεμβρίῳ ἐγγὺς τῆς πόλεως Τίκριτ ἑάλω, ἀλλὰ ἡ ἐπίσκεψις οὐ ῥᾳδία ἐγένετο, πολλὰς γὰρ ὁμολογίας ἔδει διατελεῖν διὰ τὴν φύλαξιν· οἱ δὲ πρόβουλοι μετ' αὐτὸν μὲν διελέξαντο, οὐ μέντοι ἐβουλήθησάν τι περὶ τῶν λελεγμένων ἐξηγεῖσθαι.*

**Swiss air crash controller killed - UN reactivates food supply to N. Korea - "Tirant lo Blanc", translated into French**
(25-02-04)

*Τὸν τῆς συμφορᾶς Ἑλβετικὸν ἀεροελεγκτὴν ἀποκτείνουσιν*

*Οἱ φύλακες ἐξετάζουσιν νῦν πότερον τιμωρία ἐστὶ ὁ φόνος, οὗτος γὰρ ὁ ἀεροελεγκτὴς τὰς πτέσεις ἤλεγχεν ὅτε συμφορὰ μεγίστη ἐγένετο ἐν ᾧ πολλοὶ Ῥοσσικοὶ παῖδες ἀπέθανον· ὁ δὲ ἐλεγκτής, καίπερ Δανικὸς ὤν, ἐν τῇ Ἑλβετίᾳ διεβίου τε καὶ εἰργάζετο· καὶ μὴν οὐδεὶς βεβαίως οἶδα πότερον ὁ φονεὺς πατὴρ ἐστίν τινος τῶν παιδῶν ἢ οὔ.*

*Ὁ ΗΕΟ πάλιν βρωτὸν τῇ Βορεαίᾳ Κωρέᾳ πορίζει*

*Ὁ ΗΕΟ πάλιν εἰς τὴν Β. Κωρέαν βρωτὸν πέμψει, ἓξ γὰρ ἑβδομάδας οὐκ ἐξῆν ταύτην τὴν ὠφελείαν πέμψαι, ἅτε τῶν ἑσπερίων ἀρχόντων οὐδὲν διδόντων· οἱ μὲν ἐν τῇ Βορεαίᾳ Κωρέᾳ παῖδες πεινῶσί τε καὶ ἀποθνήσκουσιν, ὁ δὲ δικτάτωρ Κὶμ Ἰωγγ Ἴλ μεγίστῳ στρατεύματι χρῆται ἵνα τὴν δικτατωρείαν διασώζῃ. τί δεῖ ποιεῖν;*

*"Τιρὰντ λο Βλὰνκ" εἰς τὴν Γαλλικὴν μεταγέγραπται*

*"Τιρὰντ λο Βλὰνκ", ἡ μεγίστη Καταλανικὴ βίβλος περὶ ἱππέως ἐν τῷ Μεσαίωνι ζῶντος εἰς τὴν Γαλλικὴν γλῶτταν μετεγράφη· ὁ δὲ Τιρὰντ λο Βλὰνκ εὐγενὴς ἐστὶν ὃς ἐν τῇ Ἀγγλίᾳ ἱππεὺς γενομένος καὶ ἐπὶ τοὺς Τούρκους ἐν τῇ Βυζαντινικῇ ἀρχῇ μαχεσάμενος τὴν μὲν Ἑλλάδα ἐλευθεροῖ, τέλος δὲ ἐν Ἀδρινοπόλει, ἀποθνῄσκει· ὁ δὲ τῆς βίβλου ποιητὴς ὁ Χοανὸτ Μαρτορὲλλ ἦν.*

**Human chain protest spans Taiwan - Star caught devouring companion - Football rules revised in FIFA meeting in London**
(28-02-04)

*Ἀνθρώπινος σχετλιαστικὸς ὁρμαθὸς τὴν Ταιουὰν διαπείρει*

*Ὅ τε τῆς Ταιουὰν πρόεδρος καὶ πλείονες ἢ ἑκατομμύριον τῶν αὐτοῦ ἐπιτηδείων μακρότατον ἀνθρώπινον ὁρμαθὸν ἐποίησαν χθὲς διὰ πάσης τῆς νήσου ἵνα ἐπὶ τὴν Σίναν σχετλιάσαιεν, ἡ γὰρ Σίνα πεντακοσίους πυραύλους τῆς Ταιουὰν στοχαζομένους στήσειν μέλλει.*

*Ἀστὴρ ἑταίραν βιβρώσκων καταλαμβάνεται*

*Μέλαινά τις τρύμη ἄλλον ἀστέρα τῷ ἡμετέρῳ ἡλίῳ ὅμοιον κατέφαγεν· τοῦτο δὴ κοσμικὴ λαιμαργία ἐστίν. λέγουσι δὲ οἱ ἀστρονόμοι ὅτι ὁ μὲν ἀστήρ, τὴν συνήθη ὁδὸν λιπών, τῇ μελαίνῃ τρύμῃ προσεχώρησε (τὴν χειρίστην ἐν τῇ αὐτοῦ βιοτῇ κρίσιν ποιησάμενος· πῶς τις οὕτως ἠλίθιος εἶναι δύναται;), ἡ δὲ αὐτὸν αὐτίκα εἵλκυσεν· τὸ μὲν ἀέριον τὸν ἀστέρα περικυκλεῦον ἐθερμάνθη, ὁ δὲ ἀνετινάχθη (εἰ σὺ τοῦτο μὴ ἐξεῖναι νομίζεις, οὐδὲν ἄλλο σε δεῖ ἢ μελαίνῃ τρύμῃ τινὶ προσχωρῆσαι, ἔπειτα δὲ παρ' ἐμὲ ἐλθὼν ἢ ἐλθοῦσα τοῦτό μοι ἐξηγοῦ).*

*Οἱ τοῦ ποδοσφαίρου νόμοι ἐν Λονδινικῷ τῆς ΦΙΦΑ συνεδρίῳ ἐπιθεωροῦνται*

*Ὁ Ἑλβετικὸς Ἰώσηφ Βλάττηρ τινὰς τῶν τοῦ Ποδοσφαίρου νόμων μεταλλάττειν βούλεται, λέγει γὰρ οἷον ὅτι ἐν τοῖς φιλικοῖς διεθνέσι ἀγῶσι δεῖ μόνον καθ' ὁμάδα πέντε ἀγωνιστὰς ἀνταλλάττειν, οὐ μέντοι ἕνδεκα (πάντας, ὡς ἔπος εἰπεῖν), ὡς τὸ νῦν.*

**Maradona claims money from former homage game - Does Coca-Cola sell tap water? - "Lord of the Rings" gets 11 statues**
(03-03-04)

*Ὁ Μαραδόνα χρήματα ἐκ προτέρου τιμημικοῦ ἀγῶνος αἰτεῖ*

*Ἤδη δεύτερον ἔτος ὁ Μαραδόνα μετέσχε αγῶνός τινος ἐν τῇ Ἀργεντίνῃ· ἔδει μὲν διὰ τοῦτον τὸν ἀγῶνα ἑκατομμύριον δωλάρων κτᾶσθαι, μόνον δὲ ἐννεαμυρίους ἐδέξατο, νῦν οὖν ἐρωτᾷ ὁ*

*ποδοσφαιριστὴς ὅπου τὸ λοιπόν ἐστιν· ὁ δὴ τὰ πρόσθεν ἀστὴρ νῦν ἐν τῇ Κούβῃ οἰκεῖ.*

*Ἆρα πωλεῖ ἡ Κώκα-Κώλη ὕδωρ τῆς βρύσης;*

*Τὸ μὲν τῆς Κώκα-Κώλης σύγγραμμα ἀπόρρητόν τε καὶ κρυφαῖόν ἐστιν, τὸ δὲ τοῦ νεοῦ ἐκγόνου σύγγραμμα διαφανής, ὕδωρ γάρ ἐστιν· λέγουσι μέν τινες ὅτι τοῦτο τὸ ὕδωρ οὐδὲν ἄλλο ἐστὶν ἢ ὕδωρ ἐκ τῆς βρύσης, τούτων δὲ τῶν κατηγορημάτων γενομένων, εἶπεν ὁ τῆς ἐπιχειρήσεως φερέφωνος ὅτι τὸ μὲν ὕδωρ χημικῶς τε καὶ σειρώσεσι τρίσι καθαιροῖεν, ὃ δὲ ἐν τῇ ληκύθῳ κεῖται τῷ τῆς βρύσης ὕδατι οὐδαμῶς ἔοικεν· οὐ μὴν ἄλλα οἱ Βρεταννικοὶ δημοσιογράφοι χθὲς τούτου κατεμειδίησαν.*

*"Ὁ τῶν Δακτυλίων Δεσπότης" ἕνδεκα ἀγαλμάτια φέρεται*

*Τοῦτο τὸ κινηματογραφικὸν ἔργον οὕτως τοῖς ἄλλοις Βὲν-Οὺρ καὶ Τιτανικὸν ἐξισώσατο, ἕνδεκα ἀγαλμάτια φερόμενον· το δὲ ἔργον κόσμον δείκνυσι ἐπινοητὸν μέν, ἑλκτικὸν δέ· καὶ δὴ καί εἰσιν οἵτινες αὐτὸ νομίζουσι τὸν τοῦ Ἅρρι Πώττηρ ἀνταγωνιστὴν εἶναι.*

**Dramatic rescue of North Pole 12 - World's oldest man (from Catalonia) dead at 114 - Chinese dictatorship frees democracy activist**
(06-03-04)

*Δραματικὸς διασωσμὸς τῶν δώδεκα ἐν τῷ Ἀρκτικῷ Πόλῳ*

*Δώδεκα Ῥωσσικοὶ ἐπιστήμονες ἐπὶ πάγῳ τινὶ τρεῖς ἡμέρας ἔμειναν, μέγα μὲν γὰρ μέρος τοῦ κρυστάλλου, ἐπὶ ᾧ ἡ Ῥωσσικὴ βάσις ἔκειτο, ἐρράγη, ἔδει δὲ ἑλικοπτέρῳ χρῆσθαι ἵνα αὐτοὺς σώσαιεν.*

*Γεραίτατος τῆς οἰκουμένης ἄνθρωπος (ἀπὸ τῆς Καταλωνίας) ἀποθνῄσκει ἤδη ἑκατὸν καὶ τέτταρα καὶ δέκα ἔτη γεγονώς*

*Καταλανικὸς σκυτεύς τις, ὁ Χοὰν Ῥιουδαβέτς, ἤδη πεντήκοντα ἔτη ἔμμισθος, ἀποτέθνηκε τήμερον ἐν τῇ αὑτοῦ οἰκίᾳ· ὁ δὲ Χ. Ῥιουδαβέτς, ἤδη ριδ' ἔτη γεγονώς, ἐγείνατο μὲν τῷ αὐτῷ ἔτει ᾗ ὁ Ἵτλερ καὶ ὁ Ξιάρλς Ξιάπλιν, τοῦ Εἰφφὴλ Πύργου τότε διαπραχθέντος, ἐν δὲ τῇ νήσῳ Μενόρκᾳ κατῴκει· ὅτε δὴ ὁ Δεύτερος Παγκόσμιος Πόλεμος ἤρξατο, οὗτος ὁ ἄνθρωπος ἤδη τετταράκοντα καὶ ἐννέα ἔτη γεγονὼς ἦν. ἔλεγε δὲ ἀεὶ ὅτι τὸ μέγιστον εὕρημα ὃ εἶδεν ὁ ἠλεκτρισμὸς ἦν.*

*Ἡ Σινικὴ δικτατωρεία εἰσηγητὴν τῆς δημοκρατίας ἀπολύει*

*Ὁ Οὐάγγ Ἰουκαί, ἤδη τριάκοντα καὶ ἕπτα ἔτη γεγονώς, ἀπελύθη προχθὲς ὑπὸ τῆς Σινικῆς ἀρχῆς· οὗτος δὲ ὁ τῆς δημοκρατίας εἰσηγητὴς τοὺς πανεπιστημονικοὺς μαθητὰς ἐν τῇ ἀγορᾷ Τιαναμὲν συνηγεμόνευσε ὅτε τὰ θωρακισμένα ἅρματα τῆς κομμουνιστικῆς ἀρχῆς τοὺς διαδηλουμένους ἀπέκτειναν· διὰ δὲ τοῦτο (πῶς γὰρ οὔ) ἡ δικτατωρεία αὐτοῦ κατέγνω.*

**French investigators menace with resignation - The Who play again after 21 years**
(09-03-04)

*Οἱ Γαλλικοὶ ζητηταὶ τῇ ἀποστασίᾳ ἀπειλοῦσιν*

*Δισχίλιοι Γαλλικοὶ ἐπιστήμονές τε καὶ ζητηταὶ ἀφίστασθαι βούλονται διότι ἡ ἀρχὴ ἱκανὰ χρήματα τῇ ἐπιστήμῃ οὐ δίδωσιν, διαβεβαιοῦνται γὰρ ὅτι τὰ χρήματα ἀποπνίγονται· ὅμως δὲ αὕτη ἡ ἀποστασία συμβολική ἐστιν, οἱ γὰρ ἐπιστήμονες λέγουσιν ὅτι ἐργαζόμενοι μὲν διατελέσουσιν, ἰδίᾳ δέ.*

*Οἱ Τίνες μετὰ εἴκοσι καὶ ἓν ἔτη πάλιν δίσκον χαράττουσιν*

Οἱ Βρεταννικοὶ τέτταρες πάλιν ψάλλουσιν, ἅτε οὐ δέον τοὺς μύθους ἀποθνῄσκειν, ἐν δὲ τῷ Ἄλβερτ Ἄλλ τοῦ Λονδονίου ᾄσονται· οὗτοι μὲν οἱ μουσικοὶ τὰ εὐδόκιμα ἔργα Τόμμυ καὶ Κουαδρωφήνια ἐποίησαν, λέγεται δὲ ὅτι ὁ βέλτιστος ὅμιλος τῶν τότε ἦν· ὅμως δὲ δῆλόν ἐστι ὅτι οὐδέποτε βελτίονες ἐγένοντο ἢ ἡ Ἠλεκτρικὸν Φῶς Ὄρχηστρα, ἀγγλιστὶ ΕΛΟ καλουμένη, αὕτη γὰρ μάλιστα ἀνίκητος ἦν καὶ ἐστι καὶ ἔσται εἰσαεί· ἆρα σὺ οὐ ὁμολογεις;

**Terrorist attack in Madrid: 200 dead, 1500 wounded**
(12-03-04)

<u>Τρομοκρατικὴ ἐπίθεσις ἐν τῷ Μαδρὶδ· σ' ἀπέθανον, ,αφ' ἐτρώθησαν</u>

Τῇ Πέμπτῃ κατ' ὄρθον ἐννέα βόμβαι ἀνετινάχθησαν ἐν τετάρσι σιδηροδρόμοις εἰς τὸ Μαδρὶδ ἀφικομένοις· οἱ δὲ τρομοκράται δώδεκα βόμβας ἐπέθησαν, ἀλλὰ τρεῖς αὐτῶν οὐκ ἀνετινάχθησαν· διακόσιοι μὲν ἄνθρωποι ἀπέθανον, χίλιοι δὲ καὶ πεντακόσιοι ἐτρώθησαν. ἔπειτα δὲ κατ' ἀρχὰς μὲν ἐλέγετο ὅτι ἡ τρομοκρατικὴ σύστασις ΕΤΑ αἴτια ἦν, τήμερον δὲ αὕτη ἡ σύστασις οὐκ ἔφη τὴν προσβολὴν ποιῆσαι.

λέγει δὲ ἡ ἀρχὴ ὅτι ἴσως ἡ μουσουλμανικὴ σύστασις Ἀλ Καΐδα αἴτια ἦν· νομίζεται μὲν ἐννέα ἀνθρώπους, ἓξ ἄνδρας καὶ τρεῖς γυναῖκας, τὰς βόμβας ἐπιθεῖναι, ὅμως δὲ αὗται αἱ ἀκοαὶ συνωχαδὸν διαμείβονται.

αἱ μὲν βόμβαι σχεδὸν συγχρονῶς ἀνετινάχθησαν, πολλοὶ δὲ ἄνθρωποι ἔνδον τῶν τότε σιδηροδρόμων ἦσαν, πρὸς γὰρ τὴν καθημέριεν πραγματείαν πάντες ᾔεσαν· καὶ δὴ καὶ ἐν τῇ Ἱσπανίᾳ τρεῖς ἡμέρας πένθει δημοσίᾳ κατεστάθησαν.

**Neil Armstrong: "Support Bush's space plan" - Great Wall myth excised from textbooks**
(14-03-04)

<u>Ὁ Νεῖλ Ἄρμστρωγγ· "στηρίζετε τὴν οὐρανίαν τοῦ Βοῦιξ διάνοιαν"</u>

Ὁ Νεῖλ Ἄρμστρωγγ, ἤδη ἑβδομήκοντα καὶ τρία ἔτη γεγονώς, τὴν οὐρανίαν τοῦ προέδρου Βοῦιξ διάνοιαν στηρίζει, ταύτην γὰρ ἀξιόλογον εἶναι νομίζει· ὁ μὲν Βοῦιξ πάλιν κοσμοναύτας πρὸς τὴν σελήνην πέμψαι βούλεται, τοῦτο δὲ τιμιώτατόν ἐστιν. ὁ δὴ Νεῖλ Ἄρμστρωγγ, τὴν στολὴν Ἀπόλλωνα ια' ἡγεμονεύων πρῶτος ἐπὶ τῇ σελήνῃ ἄνθρωπος ἐπέβη.

<u>Ὁ περὶ τοῦ Μεγάλου Τείχους μῦθος ἀπὸ τῶν μαθητικῶν βίβλων ἀφαιρεθήσεται</u>

Ἡ Σίνα ἔλεγεν ἀεὶ ὅτι τὸ Μέγα Τεῖχος ἀπὸ τῆς σελήνης ἰδεῖν ἔξεστιν, νῦν δὲ, Σινικοῦ κοσμοναύτου τινὸς ὀπτικὰς πειράσεις ἐν τῷ κόσμῳ ποιήσαντος καὶ ἐπανελθόντος , δῆλόν ἐστιν ὅτι ταῦτα οὐκ ἀληθῆ ἐστιν, δεῖ γὰρ ὀπτικοῖς τε ἐργαλείοις καὶ ὀργάνοις χρῆσθαι, διότι τὸ Τεῖχος μόνον ἔνια μέτρα τὸ εὖρός ἐστιν· τοῦτο δὲ αἰσθοῦσα, ἡ Σινικὴ ἀρχὴ ἐβουλέσατο τοῦτον τὸν μῦθον ἀπὸ τῶν μαθητικῶν βίβλων ἀφελεῖν.

**Burned libraries along History (1st part)**
(18-03-04)

<u>Κατάφλεκτοι βιβλιοθῆκαι διὰ τῆς Ἱστορίας (πρῶτον μέρος)</u>

Διὰ τῆς Ἱστορίας πολλαὶ βιβλιοθῆκαι ἐκαύθησαν, ἐνίοτε μὲν διότι οἱ νέοι τῆς χώρας ἡγεμόνες τήν τε προτέραν ἐπιστήμην καὶ παιδείαν ἐμίσουν, ἐνίοτε δὲ καὶ συμφορᾷ τινι· βούλομαι οὖν δεικνύναι μικρὰν σύνοψιν τούτων τῶν ὀλέθρων οὐ μόνον λέγων πότε ἕκαστος ἐγένετο ἀλλὰ καὶ τὴν αἰτίαν

*δεικνύς.*

*εἴθε μὴ ὤφελον ταύτας τὰς βίβλους καίειν· ὢ τῆς ἀγνοίας.*

*α') Πέμπτῃ ἑκατονταετίᾳ πρὸ τοῦ Χρίστου.*
*ἐν ταῖς Ἀθήναις πολλὰ ἀντίγραφα τῆς βίβλου "Περὶ τῶν Θεῶν", ὑπὸ τοῦ τῶν Ἀβδήρων σοφιστοῦ Πρωταγόρου γεγραμμένης, καίεται.*

*β') Περὶ τὰ διακοσιοστὰ ἔτη πρὸ τοῦ Χρίστου.*
*ὁ τῆς Σίνης βασιλεὺς Σὶ Οὐάγγ-Τί, ὃς τὸ Μέγα Τεῖχος ἔτευξεν, κελεύει πάσας τὰς βίβλους καῦσαι μὴ περὶ τῆς γεωργίας ἢ περὶ τῆς ἰατρικῆς ἢ περὶ τῆς προφητείας διερχομένας· οἱ μὲν τοῦ βασιλέως στρατιώτας ἐκ τῶν οἰκιῶν τὰς βίβλους ἐκφέρουσι καὶ αὐτὰς καίουσιν· μετὰ δὲ ταῦτα, ἐάν τις εὑρεθῇ βίβλον τινὰ κρύπτων, καταγνωσθεὶς ἀποπεμφθήσεται οὐκ εἰς τὸ δεσμωτήριον ἀλλὰ ὡς τὸ Μέγα Τεῖχος συντεύξων.*

**Burned libraries along History (2nd part)**
(21-03-04)

*Κατάφλεκτοι βιβλιοθῆκαι διὰ τῆς Ἱστορίας (δεύτερον μέρος)*
*γ') Πρώτῃ ἑκατονταετίᾳ μετὰ τοῦ Χρίστου.*
*ἐν τῇ Ἐφέσῳ, ἐπειδὴ ὁ τῆς Ταρσοῦ Παῦλος εἰς τὴν πόλιν ἦλθεν, δεκάδες πολλαὶ βίβλων καίονται.*

*δ') Τῷ τετταρακαιδεκάτῳ ἔτει μετὰ τὸν Χρίστον.*
*τῶν τοῦ Καίσαρος στρατιώτων τὸν λιμένα πυρὶ προσβαλλόντων, τετταραμύριαι βίβλοι καίονται ἐν τῇ τῆς Ἀλεξανδρείας βιβλιοθήκῃ, πλησίον τοῦ λιμένος κειμένῃ· αὕτη δὴ ἡ πυρκαϊὰ εὐδοκιμωτάτη ἐγένετο.*

*ε') Τῷ ἑκατοστῷ ἐνενηκοστῷ πρώτῳ ἔτει.*
*ἡ ἐν τῷ τῆς Εἰρήνης Ναῷ βιβλιοθήκη, ὑπὸ τοῦ Οὐεσπασιανοῦ κτιστῷ, καίεται, ἡ δὲ αἰτία ἄγνωστός ἔτι καὶ νῦν ἐστιν.*

*ς') Τῷ τριακοσιοστῷ ἐνενηκοστῷ πρώτῳ ἔτει.*
*ὁ πατριάρχης Θεοφίλος κελεύει τό τε Σεραπεῖον καὶ τὴν ἑαυτοῦ βιβλιοθήκην, μέρος οὖσαν τῆς ἐν τῇ Ἀλεξανδρείᾳ, διαφθείρειν.*

*ζ') Τῷ τετρακοσιοστῷ πεντεκαιδεκάτῳ ἔτει.*
*ἐν τῇ Ἀλεξανδρείᾳ φονεύεται ὑπὸ μοναχῶν τινων ἡ μαθηματικὴ Ἱππατεία, αἱ δὲ βίβλοι αὐτῆς καίονται.*

*η') Τῷ ἑξακοσιοστῷ τετταρακοστῷ τετάρτῳ ἔτει.*
*λέγεται ὅτι ὁ Ὀμὰρ ὁ Πρῶτος ἐκέλευσε τὸ τῆς Ἀλεξανδρείας Μουσαῖον διαφθαρῆναι, ἐν ᾧ τόπῳ ἄλλη βιβλιοθήκη αὖθις ἐγεγένητο· ὅμως δὲ τοῦτο τὸ ἄγγελμα οὐ βέβαιόν ἐστιν.*

**Burned libraries along History (3rd part)**
(21-04-04)

*Κατάφλεκτοι βιβλιοθῆκαι διὰ τῆς Ἱστορίας (τρίτον μέρος)*

*θ') Ἐνάτῃ ἑκατονταετίᾳ.*
*οἱ Οὐικίγγοι διαφθείρουσι πολλὰ χειρόγραφα ἐν τοῖς τῆς Ἰρλανδίας μοναστηρίοις.*

*ι') Δεκάτῃ ἑκατονταετίᾳ.*
*ὁ Ἀλμανθὼρ τετρακοσίας χιλίας βίβλους καίειν κελεύει ἐν τῷ τῆς Κωρδόβης Καλιφάτῳ.*

*ια') Τῷ χιλιοστῷ διακοσιοστῷ τετάρτῳ ἔτει.*
*τῆς τετάρτης σταυροφορίας μυρίαι βίβλοι καίονται, τῆς Κονσταντινωπόλεως αἱρεθείσης.*

*ιβ') Τῷ χιλιοστῷ διακοσιοστῷ πεντηκοστῷ ὀγδόῳ ἔτει.*
*οἱ στρατιῶται οἱ τοῦ Οὐλάγου, ὃς τοῦ Γέγγις Κὰν ἔκγονος ἔτυχεν ὤν, εἰς τὸ Βαγδὰδ εἰσέρχονται καὶ ῥίπτουσι πάσας τὰς βίβλους εἰς τὸν Εὐφράτην ποταμόν.*

*ιγ') Τῷ χιλιοστῷ τετρακοσιοστῷ πεντηκοστῷ τρίτῳ ἔτει.*
*τῆς Κονσταντινωπόλεως αἱρεθείσης, οἱ Τοῦρκοι τὴν Βυζαντινὴν Ἀρχὴν καταλαμβάνουσι καὶ πάσας τὰς βίβλους καίουσιν αἷς ἐντυγχάνουσιν.*

**Burned libraries along History (4th part)**
(25-04-04)

<u>*Κατάφλεκτοι βιβλιοθῆκαι διὰ τῆς Ἱστορίας (τέταρτον μέρος)*</u>
*ιδ') Τῷ χιλιοστῷ πεντακοσιοστῷ ἔτει.*
*ὁ Φραγκίσκος Χιμένηθ τοῦ Κυκνέρος πενταχιλίας τῆς Ἀραβικῆς παιδείας βίβλους ἐν τῇ Γρανάδῃ καίειν κελεύει.*

*ιε') Τῷ χιλιοστῷ πεντακοσιοστῷ τριακοστῷ ἔτει.*
*ὁ καθολικὸς ἱερεὺς Ἰωάννης τῆς Θουμαρράγη, ὃς τὴν πρώτην ἐν τῷ Νέῳ Κόσμῳ βιβλιοθήκην ἵδρυσεν, τὰ τῶν Μαιῶν (ἐν τῷ Μεξίκῳ) χειρόγραφα καίειν κελεύει.*

*ις') Τῷ χιλιοστῷ πεντακοσιοστῷ πεντηκοστῷ τρίτῳ ἔτει.*
*ὁ σοφὸς Μιχαὴλ Σερβὴτ ἐν τῇ πύρᾳ καίεται αὐταῖς ταῖς ἑαυτοῦ βίβλοις.*

*ιζ') Τῷ χιλιοστῷ πεντακοσιοστῷ πεντηκοστῷ ἐνάτῳ ἔτει.*
*δωδεκαχίλια Ἑβραϊκὰ χειρόγραφα καίεται ἐν τῇ πόλει Κρεμόνῃ· καὶ δὴ καὶ τούτῳ τῷ ἔτει ἡ καθολικὴ Ἐκκλησία τὸν τῶν ἀπορρήτων βίβλων κατάλογον καταγράφει.*

*ιη') Τῷ χιλιοστῷ ἑξακοσιοστῷ ἑξηκοστῷ ἕκτῳ ἔτει.*
*πολλαὶ ἑκατοντάδες βίβλων καίονται ἐν τῇ μεγάλῃ τοῦ Λονδίνου πυρκαϊᾷ.*

*'ιθ') Τῷ χιλιοστῷ ἑξακοσιοστῷ ἑβδομηκοστῷ πρώτῳ ἔτει.*
*πολλὰ μὲν χειρόγραφα ἐν τῷ τοῦ Ἐσκοριὰλ μοναστηρίῳ καίεται, οὐ μέντοι πάντα.*

*κ') Τῷ χιλιοστῷ ἑξακοσιοστῷ ὀγδοηκοστῷ ἑβδόμῳ ἔτει.*
*πυρκαϊά τις μεγάλη ὄλλυσι πᾶσην τὴν βιβλιοθήκην τῷ Πίκο δελλὰ Μιρανδόλα ὑπάρχουσαν.*

**Burned libraries along History (5th and last part)**
(28-04-04)

Κατάφλεκτοι βιβλιοθῆκαι διὰ τῆς Ἱστορίας (πέμπτον καὶ τελευταῖον μέρος)

*κα') Τῷ χιλιοστῷ ὀκτακοσιοστῷ τετταρακαιδεκάτῳ ἔτει.*
*μεγάλη πυρκαϊὰ ἐν τῇ τῆς τῶν Ἡνωμένων Ἀμερίκης Πολιτειῶν βουλῆς βιβλιοθήκῃ.*

*κβ') Τῷ χιλιοστῷ ἐνακοσιοστῷ ἔτει.*
*καίεται ἡ βιβλιοθήκη Ἂν Λὶν Ἰουάν, ἐν ᾗ ἐγκύκλια μεγάλα ἐκεῖτο· ταῦτα δὴ τὰ ἐγκύκλια πᾶσην τὴν περὶ τῆς Σίνης ἐπιστήμην περιεῖχεν.*

*κγ') Τῷ χιλιοστῷ τριακοστῷ τρίτῳ ἔτει.*
*ἐν τῇ Γερμανίᾳ οἱ νάζεις πολλὰς βίβλους ἐν τῇ τοῦ Βὸν Οὔμβολδτ Πανεπιστημίου αὐλῇ καίουσιν, τοῦ Ἰώσηφ Γοέββελς κελεύοντος.*

*κδ') Τῷ χιλιοστῷ ὀγδοηκοστῷ ἕκτῳ ἔτει.*
*διαφθείρονται διὰ πυρκαϊᾶς τετρακόσιαι χίλιαι βίβλοι ἐν τῇ δημοσίᾳ Τῶν Ἀγγέλων βιβλιοθήκῃ.*

*κε') Τῷ χιλιοστῷ ὀγδοηκοστῷ ἐνάτῳ ἔτει.*
*αἱ τοῦ Ἀγγλοινδικοῦ συγγραφέως Σάλμαν Ῥούσδιε βίβλοι καίονται, ἡ γὰρ βίβλος Σατανικοὶ Στίχοι αἰτία τούτου τοῦ μίσου ἐγένετο.*

*κς') Τῷ χιλιοστῷ ἐνενηκοστῷ δευτέρῳ ἔτει.*
*οἱ Σέρβιοι τὴν ἐν τῷ Σαραιέβῳ βιβλιοθήκην διαφθείρουσιν· οὐ μέντοι χίλιαι ἀλλὰ ἑκατομμύρια βίβλων διαφθείρονται.*

**The role of Finland in World War II (1st part)**
(30-04-04)

Τὸ τῆς Φινλανδίας σχῆμα ἐν τῷ Δευτέρῳ Παγκοσμίῳ Πολέμῳ (πρῶτον μέρος)

*Εἴ τις φοιτητὴν τῆς Ἱστορίας ἐρωτᾷ ὑπὲρ τίνος καὶ ἐπὶ τίνα ἡ Φινλανδία ἐν τῷ Δευτέρῳ Παγκοσμίῳ Πολέμῳ ἐμαχέσατο, εἰκός ἐστιν ὅτι οὗτος ἀγνοεῖ, ὡς γὰρ ἐπὶ τὸ πολὺ περὶ ταύτης τῆς ὑποθέσεως οἱ ἱστορικοὶ μάθησιν οὐ ποιοῦνται· ἡ δὴ Φινλανδία πρότερον μὲν τῇ Γερμανίᾳ συνεμαχέσατο, ἔπειτα δὲ τῇ Ἑνώσει Σοβιετικῶν Κοινωνιστικῶν Δημοκρατιῶν (ΕΣΚΔ).*

*ὁ δὲ τῆς Φινλανδίας πόλεμος τρία μέρη ἔχει·*

*α) ὁ χειμερινὸς πόλεμος (ἐκ τοῦ τριακοστοῦ ἐνάτου ἔτους μέχρι τοῦ τετταρακοστοῦ)*

*αἱ σπονδαὶ Μολοτὸβ-Ῥίβεντρωππ οὐ μόνον τὴν Πολωνίαν ταῖς Γερμανικῇ τε καὶ σοβιετικῇ δικτατωρείαις διέτεμεν ἀλλὰ καὶ τῇ ΕΣΚΔ ἐνίας χώρας τότε τῇ Φινλανδίᾳ προσηκούσας παρεῖχεν· ἡ μὲν Φινλανδία ταύτας τὰς χώρας ἀποδοῦναι εὐλόγως οὐκ ἤθελεν, τέλος δὲ ἡ ΕΣΚΔ, μαθοῦσα τὴν Φινλανδίαν οὐκ εἴξειν μέλλουσαν, προσέβαλεν.*

*οἱ μὲν σοβιετικοὶ στρατιῶται ῥᾳδίως προὐχώρουν, οὐ μέντοι ἐν τῇ Καρελίᾳ, ἐκεῖ γὰρ τῷ ἀμυντηρίῳ στοίχῳ Μάννερχειμ συνέπεσον· ὅμως δὲ ἡ ΕΣΚΔ ἀρχὴν προσοβιετικὴν καθέστησεν, τὴν Τεριχόκι ἀρχήν.*

*οἱ δὲ Φινλανδικοὶ στρατιῶται, τῶν ἐν ταῖς ὕλαις μαχῶν χάριν, οὗ μάλιστα ἐκράτουν, τοὺς σοβιετικοὺς ἀνασπᾶν ἤρχοντο, ἀλλὰ τῆς ΕΣΚΔ ἀντιβαλούσης τοῖς Φινλανδικοῖς ἀναγκαῖον ἦν*

*σπονδὰς ποιεῖσθαι, ἐφ' ᾧ ἔτι μᾶλλον χώρας ἀπέβαλον.*

**The role of Finland in World War II (2nd part)**
(03-05-04)

<u>Τὸ τῆς Φινλανδίας σχῆμα ἐν τῷ Δευτέρῳ Παγκοσμίῳ Πολέμῳ (δεύτερον μέρος)</u>
*β) ὁ διατελῶν πόλεμος (ἐκ τοῦ τετταρακοστοῦ πρώτου ἔτους μέχρι τοῦ τετταρακοστοῦ τετάρτου)*

*ἔτος δὲ ἓν εἰρήνης οὔσης, ἡ Φινλανδία τῇ Γερμανίᾳ συμμαχίαν ἐποιήσατο καὶ εἴασε τοὺς Γερμανικοὺς στρατιώτας διὰ τῆς Φινλανδίας διαβαίνειν ἵνα τῇ ΕΣΚΔ ἐπιτιθεῖντο, μάλιστα δὲ τῇ πόλει Μούρμανσκ· ἡ μὲν οὖν ΕΣΚΔ διὰ τοῦτο τῇ Φινλανδίᾳ πάλιν ἐπέθηκεν, ἡ δὲ ἀντιπροσέβαλέ τε καὶ μέρος τῆς χώρας ἣν ἐν τῷ χειμερινῷ πολέμῳ τῇ ΕΣΚΔ ἄκουσα ἐδεδώκει ἀνέλαβεν, ὅμως δὲ τοῖς Γερμανικοῖς στρατιώταις τὴν πόλιν Λενιγγρὰδ πολιορκοῦσι συμμάχεσθαι οὐκ ἠθέλησεν.*

*τοῦ δὲ ἔτους τετταρακοστοῦ τετάρτου ἀρχομένου, δῆλον ἤδη ἦν ὅτι ἡ Γερμανία ἐν τῷ πολέμῳ ἡττᾶτο, ἥ τε Φινλανδία καὶ ἡ ΕΣΚΔ περὶ μὲν εἰρήνης διεκέγοντο, οὐδὲν δὲ ὡμολόγησαν, ἐνίους οὖν μηνάς ἐπ' ἀλλήλους ἔτι ἐπολέμουν· ὅτε δὲ ἡ εἰς τὴν Νορμανδίαν ἀπόβασις ἐγένετο, τῇ αὐτῇ ἡμέρᾳ ἡ ΕΣΚΔ μέγιστα ἐπέθηκεν, οἱ δὲ Φινλανδικοὶ στρατιῶται ἀνεχώρησαν, ἀλλὰ μετὰ μῆνα ἀντεπιτίθησιν ποιοῦντες πλείστους τε πολεμίους στρατιώτας καὶ πλεῖστα θωρακισμένα ἅρματα διώλεσαν, ἡ γὰρ Γερμανία νέα ἀντὶ θωρακισμένων ἁρμάτων βέλη ἐξεπόρισεν.*

**The role of Finland in World War II (3rd part)**
(07-05-04)

<u>Τὸ τῆς Φινλανδίας σχῆμα ἐν τῷ Δευτέρῳ Παγκοσμίῳ Πολέμῳ (τρίτον μέρος)</u>
*τοῦ μὲν τῷ τετταρακοστῷ τετάρτῳ ἔτει θέρους τελευτῶντος, τοῦ δὲ ἐν τῇ Φινλανδίᾳ πολέμου μονίμου ὄντος, ἡ Φινλανδία τοῦτο σαφῶς ᾔσθετο, ὅτι ἅμα τῇ Γερμανίᾳ ἡττήσαιτο ἂν εἰ σπονδὰς τῇ ΕΣΚΔ μὴ ταχέως ποιήσαιτο, ἔτι γὰρ τότε καιρὸς ἦν· συναλλαγὴν οὖν ἐν τῇ Μοσκβῇ ἐποιήσατο μηνὸς Σεπτεμβρίου μεσοῦντος (ἔπειτα δὲ ἐν τῷ Παρίδι αὖθις ταύτην τὴν συναλλαγὴν τῷ τετταρακοστῷ ὀγδοῷ ἔτει ὑπεγράψαντο), ἐφ' ᾗ τὴν χώραν ἀφῆκε ἣν ἐν τῷ χειμερινῷ πολέμῳ ἡ ΕΣΚΔ κατειλήφει καὶ οἰκονομικὴν ἀντικαταλλαγὴν τῇ ΕΣΚΔ ἔτεισε καὶ ὑπισχνεῖτο τοὺς Γερμανικοὺς στρατιώτας ἐκ τῆς Λαπονίας ἐξελεῖν.*

*γ) ὁ ἐν τῇ Λαπονίᾳ πόλεμος (ἐκ τοῦ τετταρακοστοῦ τετάρτου ἔτους μέχρι τοῦ τετταρακοστοῦ πέμπτου)*

*τῶν δὲ σπονδῶν τῇ ΕΣΚΔ ποιησαμένων, ἡ Φινλανφία, ἥκιστα μὲν ἑκοῦσα, μάλιστα δὲ ἀκοῦσα (ἡ γὰρ ΕΣΚΔ συνεχῶς ἠνάγκαζε), τῇ Γερμανίᾳ ἐπέθετο ἵνα τοὺς Γερμανικοὺς στρατιώτας ἐκ τῆς Λαπονίας ἐξελαύνοι ἔτι ἐκεῖ μένοντας· ὅμως δὲ οἱ Φινλανδικοὶ στρατιῶται ἐκ τῆς ἑαυτῶν πατρίδος οὐκ ἐξέβησαν.*

*λεκτέον οὖν ὅτι ἡ Φινλανδία ἀεὶ ὑπὲρ ἑαυτῆς ἐμαχέσατο, πρῶτον μὲν ἐπὶ τὴν ΕΣΚΔ, ὑπ' αὐτῆς προσβληθεῖσα, ἔπειτα δὲ, αἰσθανομένη τίνες νικήσειν μέλλοιντο, τὴν συμμαχίαν μετήλλαξεν.*

**The Battle of Austerlitz**
(10-05-04)

*Ἡ τοῦ Αὔστερλιζ μάχη*

*"Αὔριον τοῦτο τὸ στράτευμα ἐμὸν γενήσεται"·*

*οὕτως δὴ τῇ πρώτῃ τοῦ Δεκεμβρίου μηνὸς τοῦ χιλιοστοῦ ὀκτακοσιοστοῦ δευτέρου ἔτους ὁ ἐπιστράτηγος Ναπολεὼν ἠλαζονεύετο πρὸς τοὺς ἑαυτοῦ στρατηγοὺς θεώμενος τὸ συμμαχικὸν Αὐστρο-Οὐγγαρὸν στράτευμα ἄγχι τοῦ Αὔστερλιζ καθεστεκός, ἡ γὰρ μάχη τῇ ὑστεραίᾳ ἔμελλε γενήσεσθαι.*

*οἱ μὲν αὐτοκράτορες Ἀλέξανδρος ὁ Πρῶτος τῆς Ῥωσσίας καὶ ὁ Φραγκίσκος ὁ Δεύτερος τῆς Αὐστρίας συμμαχίαν ἐπεποιήκεσαν ἐπὶ τὸν Κόρσον, ὅμως δὲ οἵ τε τοῦ Ναπολεὼν στρατιῶται καὶ οἱ στρατηγοί, ἡ Γρὰνδ Ἀρμέη, ἑτοῖμοι δή, τῇ νίκῃ ἐπίστευον.*

*ἡ μὲν μάχη, χαλεπὴ γενομένη, ἤδη τοῖς Γάλλοις χρησίμως εἶχεν, οἱ δὲ Ῥωσσικοὶ στρατιῶται εἰς λίμνην τινὰ τότε κρυσταλλόπηκτον (χειμὼν γὰρ ἦν) ἐώσθησαν· τοῦ δὲ ἡλίου τὸν κρύσταλλον ἀσθενώσαντος, πολλοὶ διὰ τῶν σχισμάτων εἰς τὸ περίψυκτον ὕδωρ εἰσπεσόμενοι ἀπέθανον· ὁ δὲ Ναπολεών, ταῦτα ἰδών, ἐκέλευσε τοὺς τηλεβόλους ἐπὶ τὸν κρύσταλλον βάλλειν.*

*ἡ δὲ νίκη τῷ Ναπολεὼν παντελὴς μὲν ἦν, καὶ δὴ καὶ εὐδοκιμωτάτη ἐγένετο· ἡ δὲ μάχη ὠνομάσθη "ἡ τῶν τριῶν αὐτοκρατόρων μάχη", διότι οἱ τρεῖς αὐτοκράτορες ἐν αὐτῇ τῇ μάχῃ παρῆσαν, οὐ μέντοι πόρρω.*

## The strange German retreat from Greece in World War II

(14-05-04)

*Ἡ ἄτοπος τῶν Γερμανικῶν ἀναχώρησις ἐκ τῆς Ἑλλάδος ἐν τῷ Δευτέρῳ Παγκοσμίῳ Πολέμῳ.*

*"πανύστατον τοιοῦτο πράττειν δεχόμεθα"*

*Ἡ ἐκ τῆς Ἑλλάδος ἀναχώρησις ἐπεισόδιόν τις τῶν ἀτοπωτάτων ἐγένετο τῶν ἐν τῷ Δευτέρῳ Παγκοσμίῳ Πολέμῳ γενομένων, ἔνιοι καὶ λέγουσιν ὅτι γελοῖον.*

*τοῦ δὴ Σεπτεμβρίου τοῦ χιλιοστοῦ ἐνακοσιοστοῦ τετταρακοστοῦ τετάρτου ἔτους, ἥ τε Βουλγαρία καὶ ἡ Ῥομανία ὑπὸ τῆς ΕΣΚΔ ἐλήφθησαν· ὅμως δὲ οἱ Γερμανικοὶ ἔτι τὴν Ἑλλάδα κατέχοντο, τρισμύριοι δὲ στρατιῶται αὐτῶν ἐκεῖ παρῆσαν, οὐ μέντοι ἱκανοὺς ἵνα τὴν τῆς ΕΣΚΔ προχώρησιν παύειν ἔχοιεν, ἀλλὰ τοῖς Γερμανικοῖς, τὴν Ἑλλάδα ἀπολιπεῖν βουλομένοις, μόνον ἔνιά τε ἀεροσκάφη καὶ ἐνίας νῆες ἦσαν, ὥστε τοὺς στρατιώτας ἀπολαμβάνειν οὐχ οἷοί τ' ἦσαν, οἱ γὰρ Βρετανικοὶ συνεχῶς ἐπετίθεντο.*

*ὁ οὖν Οὐίνστων Τσώρτσιλ ἐφοβεῖτο μὴ ἡ ΕΣΚΔ τὴν Ἑλλάδα λάβοι, λέγει δὲ ὁ Ἄλβερτ Σπέερ ἐν τῷ ἀξιολόγῳ ἑαυτοῦ βίβλῳ ὅτι οἵ τε Βρετανικοὶ καὶ οἱ Γερμανικοὶ συνθήκην ἐποίησαν ἐπὶ τούτοις τοῖς λόγοις· οἱ μὲν Βρετανικοὶ εἴασαν τοὺς Γερμανικοὺς ἀποδιδράσκειν οὐκ ἐπιτιθέμενοι, οἱ δὲ Γερμανικοὶ τὴν τῆς Σαλονίκης λιμένα ἠλέξησαν, ἵνα μὴ ἡ ΕΣΚΔ αὐτὴν λάβοι, πρὶν οἱ Βρετανικοὶ ἀφίκοντο.*

*διαβεβαιοῦται δὲ ὁ Ἄλβερτ Σπέερ ὅτι ὁ μὲν στρατηγὸς Ἰώδλ ταύτην τὴν συνθήκην προέθηκεν, ὁ δὲ Ἵτλερ, ταύτης τῆς στρατηγήματος τελευτήσαντος, ὀργισθεὶς ἐκεῖνον τὸν λόγον εἶπε· "πανύστατον τοιοῦτο πράττειν δεχόμεθα".*

**Summary of the Crusades (first part)**
(18-05-04)

*Συγκεφαλαίωσις τῶν Σταυροφοριῶν (πρῶτον μέρος)*
*α)* Πρώτη Σταυροφορία

*δύο μέρη ἔσχεν, τό τε δημοτικὸν καὶ τὸ κύριον μέρος.*

*περὶ μὲν τῆς δημοτικῆς σταυροφορίας, τῷ χιλιοστῷ ἐνενηκοστῷ πέμπτῳ ἔτει ὁ* Γάλλος *μοναχὸς* Πέτρος *ὁ* Ἐρημίτης *ὀκτωκαίδεκα χιλίους πενήτας ἤγαγεν, οἳ ἐν τῇ* Νικαίᾳ *ἐσφάχθησαν.*

*περὶ δὲ τῆς κυρίας σταυροφορίας, καὶ καλουμένης "σταυροφορία τῶν ἱππέων", τῷ χιλιοστῷ ἑβδόμῳ πέμπτῳ ἔτει πρὸς τὸ* Ἰηρουσαλὴμ *ἐξώρμησεν, μετὰ δὲ δύο ἔτη τὴν πόλιν εἷλον· ἐγένετο δὲ ἐκεῖ ἡ τοῦ* Ἰηρουσαλὴμ *ἀρχή, τοῦ* Γοδοφρέδω *τοῦ* Βουλλὼν *ἄρχοντος, καὶ δὴ καὶ ἐν τῇ πόλει γίγνεται ἡ τῶν* Ξενικῶν Μοναχῶν Τάξις, *οἳ τοὺς τετρωμένους ἐθεράπευον· ἔπειτα δὲ ἐκ ταύτης τῆς τάξεως ἄλλη τάξις ἐγένετο, ἡ τῶν* Νεωφυλάκων Τάξις, *οὕτως καλουμένη διότι ἐν τῷ τοῦ* Σαλομόνος *νεῷ τὴν τῆς τάξεως ἵδρυν εἶχον· τοὺς δὴ προσκυνητὰς ἠκολούθουν καὶ ἠμύνοντο, μοναχοὶ γὰρ ἅμα καὶ στρατιῶται ἦσαν· πολλῷ δὲ ὕστερον ὁ τῆς* Γαλλίας *βασιλεὺς* Φίλιππος *ὁ* Τέταρτος *ὁ* Καλὸς, *τὴν τάξιν καταλύσας, τὰ χρήματα αὐτῶν ὑπερμεγεθῆ ὄντα ἔλαβεν (τὰ χρήματα αἰτία ἦν, οἱ γὰρ* Νεωφύλακες *ἀγαθοὶ μὲν ἱππεῖς ἦσαν, οὐδένα δὲ ἔβλαπτον).*

**Summary of the Crusades (second part)**
(22-05-04)

*Συγκεφαλαίωσις τῶν Σταυροφοριῶν (δεύτερον μέρος)*
*β)* Δευτέρη Σταυροφορία

Τῷ *χιλιοστῷ ἑκατοστῷ τετταρακοστῷ ἑβδόμῳ ἔτει* Κονράδος *ὁ* Τρίτος, *τῆς* Γερμανίας *βασιλεὺς, καὶ ὁ τῆς* Γαλλίας Λονδοβίκος *ὁ* Ἕβδομος *ἑκατὸν καὶ πεντήκοντα χιλίους στρατιώτας πρὸς τὴν* Δαμασκὸν *ἄγουσιν, τὴν δὲ πόλιν ἑλεῖν οὐ δυνηθέντες ἐπανέρχονται.*

*γ)* Τρίτη Σταυροφορία

Τῷ *χιλιοστῷ ἑκατοστῷ ὀγδοηκοστῷ ἑβδόμῳ ἔτει ὁ σουλτὰν* Σαλὰ ἄλ-Δὶν *ἀντισταυροφορίαν τινὰ συντάττει καὶ, ἐν τῇ παρὰ τῷ* Τιβεριάδι *λιμένι μάχῃ κρατήσας, τὸ* Ἰερουσαλὴμ *ἀναλαμβάνει· τοῦ δὲ ἐπιόντος ἔτους τρεῖς βασιλεῖς, ὁ* Φρειδερίκος *ὁ* Πρῶτος (Ἐρυθροπωγωνοφόρος *καλούμενος) τῆς* Γερμανίας *καὶ ὁ* Ῥιχάρδος (Λεοντόθυμος *καλούμενος) τῆς* Ἀγγλίας *καὶ ὁ* Φιλίππος *ὁ* Δεύτερος (Αὔγουστος *καλούμενος) τῆς* Γαλλίας, *πρὸς τὸ* Ἰερουσαλὴμ *ὁρμῶνται· ὅμως δὲ ὁ μὲν* Φρειδερίκος *ὁ* Πρῶτος *ποταμὸν διαβαίνειν πειρῶν κατεπνίγη, ὁ δὲ* Φιλίππος *ὁ* Δεύτερος *διὰ ἀπέχθειαν τινὰ ἐπὶ τὸν* Ῥιχάρδος *ἀνεχώρησεν, ὃ δὲ συνθήκας ἐποιήσατο τῷ* Σαλὰ ἄλ-Δὶν *ἐφ' οἷς οἱ χριστιανοὶ προσκυνηταὶ εἰς τὸ* Ἰερουσαλὴμ *ἐπιφοιτᾶν ἐδύναντο.*

**Summary of the Crusades (third part)**
(26-05-04)

*Συγκεφαλαίωσις τῶν Σταυροφοριῶν (τρίτον μέρος)*
(*ἔτι* Τρίτη Σταυροφορία)

*λέγεται δὲ ὅτι ὁ Σαλὰ ἀλ-Δίν, ἤδη γεράσκων, ἐν μάχῃ τινὶ τὸν Ῥιχάρδος Λεοντόθυμός ποτε ἐθεᾶτο ἐνεργετικῶς ἐν τῇ πρώτῃ τάξει μαχόμενον· ὁ μὲν τοῦ Ῥιχάρδου ἵππος ἐξαίφνης ἐτρώθη, ὁ δὲ Ἀγγλικὸς βασιλεὺς ἐν μεγάλῳ κινδύνῳ κατέστη· τότε δὲ ὁ Σουλτὰν Σαλὰ ἀλ-Δὶν αὐτίκα τοὺς θεράποντας τῷ Ῥιχάρδῳ τὸν βέλτιστον τῶν ἑαυτοῦ ἵππων ὡς τάχιστα ἄγειν ἐκέλευσεν.*

*δ) Τετάρτη Σταυροφορία*

*Τῷ χιλιοστῷ διακοσιοστῷ δευτέρῳ ἔτει ὁ πᾶπας Ἰνοκέντιος ὁ Τρίτος ἄλλην σταυροφορίαν εὐηγγέλισεν, χρῆσθαι γὰρ ταῖς τῶν τοῦ Σαλὰ ἀλ-Δὶν υἱῶν διαφοραῖς ἐβούλετο· ὅμως δὲ οἱ Βενετιανοί, ἐμπορικὰς ὁμιλίας πρὸς τοὺς μουσουλμανικοὺς ἤδη πάλαι ποιούμενοι, πολλὰς ναῦς ἔχρησαν ἵνα οἱ σταυροφόροι μετενέχθειεν, τούτους δὴ ἐξηπάτησαν καὶ οὐ πρὸς τὸ Ἱερουσαλὴμ ἀλλὰ πρὸς τὴν Κωνσταντινούπολιν μετήνεγκον διὰ ἐμπορικὴν ἔχθραν τινά· οἱ σταυροφόροι τὴν Λατίνην τῆς Κωνσταντινουπόλεως Ἀρχὴν κατέστησαν, τοῦ τῆς Φλάνδης Βαλδουίνου ἄρχοντος, ἵλεω ἑαυτοῖς· οἱ δὲ μουσουλμανικοὶ οὐδέ τι ἐταράχθησαν, ὥσπερ ἡ Βενετία ἐβούλετο.*

**Summary of the Crusades (fourth part)**
(30-05-04)

*Συγκεφαλαίωσις τῶν Σταυροφοριῶν (τέταρτον μέρος)*
*ε) Τῶν παιδῶν Σταυροφορία*

*Τῷ χιλιοστῷ διακοσιοστῷ δωδεκάτῳ ἔτει πολλοὶ παῖδες ἐπείσθησαν, ἵνα πρὸς τὸ Ἱερουσαλὴμ προσέλθοιεν· ἐν δὲ τῷ τῆς Μασσαλίας λιμένι εἰς τὰς ναῦς εἰσβάντες, πρὸς μουσουλμανικοὺς λιμένας ἠνέχθησαν, ὅπου ὡς δοῦλοι ἐπωλήσαντο.*

*ζ) Πέμπτη Σταυροφορία*

*Τῷ χιλιοστῷ διακοσιοστῷ ἑκκαιδεκάτῳ ἔτει ἄλλη τις σταυροφορία ἐγένετο· οὐδενὸς μὲν ἐπέτυχον, κακὸν δὲ οὐδὲν ἔπαθον.*

*η) Ἕκτη Σταυροφορία*

*Τῷ χιλιοστῷ διακοσιοστῷ εἰκοστῷ ἐνάτῳ ἔτει ὁ Φρειδερίχος ὁ Δεύτερος, τῆς Γερμανίας βασιλεύς, ἀνοκωχὴν μὲν τοῖς μουσουλμανικοῖς ἐποιήσατο ἐπὶ δέκα ἔτη, ἐπέτυχε δὲ καὶ μέρος τι τῆς Παλαιστίνης ἀποδοθῆναι.*

*θ) Ἑβδόμη Σταυροφορία*

*Τῷ χιλιοστῷ διακοσιοστῷ τετταρακοστῷ ὀγδόῳ ἔτει ὁ Ἅγιος Λουδοβίκος, τῆς Γαλλίας βασιλεύς, ταύτην μὲν τὴν σταυροφορίαν ἐπήνεγκεν, ἐζωγρεύθη δὲ καὶ οὐδενὸς ἐπέτυχεν· ὅμως δέ, τὸ μὲν λύτρον ἐτίσθη, ὁ δὲ βασιλεὺς ἐλύθη.*

**Summary of the Crusades (fifth and last part)**
(04-06-04)

*Συγκεφαλαίωσις τῶν Σταυροφοριῶν (πέμπτον τε καὶ τελευταῖον μέρος)*
*ι) Ὀγδόη Σταυροφορία*

*Τῷ χιλιοστῷ διακοσιοστῷ ἑβδομηκοστῷ ἔτει αὖθις ὁ Ἅγιος Λουδοβίκος σταυροφορίαν μὲν τινὰ ἐπήνεγκεν, ἐν δὲ τῇ Τυνίδᾳ νοσήσας ἀπέθανεν.*

---

*ὡς ἐν κεφαλαίῳ εἰπεῖν, τὸ τελευταῖον ἀποβαῖνον οὕτως ἐγένετο·*

- *ἡ πρώτη· εὐτυχὴς ἐγένετο.*
- *ἡ δευτέρα· εἰς τὴν Παλαιστίνην ἀφικνόμενοι, οὐδενὸς ἐπιτυγχάνουσιν.*
- *ἡ τρίτη· εἰς τὴν Παλαιστίνην ἀφικνόμενοι, οὐδενὸς ἐπιτυγχάνουσιν πάλιν.*
- *ἡ τετάρτη· πρὸς τὴν Κωνσταντινουπόλιν παρεκβαίνουσι καὶ ἐκεῖ μόνον ὑπὲρ τῆς Βενετιανικῆς ἀρχῆς μάχονται.*
- *ἡ πέμπτη· ἐν τῇ Αἰγύπτῳ τελευτᾷ, οὐδενὸς ἐπιτυχοῦσα.*
- *ἡ ἕκτη· εὐτυχὴς ἐγένετο.*
- *ἡ ἑβδόμη· ἐν τῇ Αἰγύπτῳ τελευτᾷ, οὐδενὸς ἐπιτυχοῦσα.*
- *ἡ ὀγδοή· ἐν τῇ Ἀφρικῇ τελευτᾷ, οὐδενὸς ἐπιτυχοῦσα.*

*ὡς ἐν μικρῷ κεφαλαίῳ εἰπεῖν, μόνον δύο σταυροφορίαι εὐτύχησαν.*

**60th anniversary of Normandy Landing - Ronald Reagan dies at 93**
(06-06-04)

*Ἑξήκοντα ἔτη ἐκ τῆς εἰς τὴν Νορμανδίαν ἐκβάσεως*

*Τῇ ἕκτῃ τοῦ Ἰουνίου μηνὸς τοῦ χιλιοστοῦ ἐνακοσιοστοῦ τετταρακοστοῦ τετάρτου ἔτους, οἱ σύμμαχοι εἰς τὴν Νορμανδίαν ἐξέβησαν ἵνα τῇ Γερμανίᾳ ἀπὸ τῶν δυσμῶν ἐπιτιθεῖντο· τὴν μὲν μεγάλην στρατιάν, ἐν τῇ Ἀγγλίᾳ συναρμοσθεῖσαν, ἕνδεκα χίλια ἀεροσκάφη καὶ πεντάκισχίλιαι νῆες ἤνεγκον διὰ τοῦ στενοῦ, ἐν δὲ Ἀρρομάνσιες τεχνητὸν λιμένα ἐποίησαν· καὶ γὰρ τῇ πρώτῃ ἡμέρᾳ δεκάχιλοι σύμμαχοι στρατιῶται ἀπέθανον, μάλιστα δὲ ἐν τῷ τοῦ Ὀμάχα αἰγιαλῷ.*

*ὁ δὲ στρατηγὸς Ὀμὰρ Βράδλει, τοῦ Ἀμερικανοῦ πεζοῦ στρατεύματος ἐπιστράτηγος, εἶπε· "Ἕκαστος ἀνὴρ ὃς ἐκείνῃ τῇ ἡμέρᾳ εἰς τὸν τοῦ Ὀμάχα αἰγιαλὸν ἐξέβη ἥρως ἐγένετο".*

*Ὁ Ῥώναλδ Ῥεάγαν ἀποθνῄσκει ἐνενήκοντα καὶ τρία ἔτη γεγονώς*

*Ὁ Ῥώναλδ Ῥεάγαν, τετταρακοστὸς πρόεδρος τῶν ΗΑΠ, ἐν τῇ Καλιφορνίᾳ χθὲς ἀπέθανεν· ὁ δὴ Ῥεάγαν τῷ Ἀλζεῖμερ ἤδη δέκατον ἔτος ἐνόσει.*

*ὁ μὲν Ῥ. Ῥ. πρόεδρος ᾑρέθη ἤδη ἑξήκοντα καὶ ἐννέα ἔτη γεγονώς, ἔπειτα δὲ αὖθις ᾑρέθη, οἱ γὰρ Ἀμερικανοὶ πολῖται τοὺς οἰκονομικοὺς νόμους αὐτοῦ ἐπῄνεσαν· καὶ δὴ καὶ τὸν ψυχρὸν πόλεμον ἐνίκησεν· τὰ οὖν ὀκτὼ ἔτη τῆς προεδρίας αὐτοῦ καλεῖται "ὁ συντηρητικὸς νεωτερισμός".*

**Kim Philby, the spy (first part)**
(11-06-04)

*Ὁ Κὶμ Φίλβυ, ὁ κατάσκοπος*

*Ὁ Ἰωάννης Φίλβυ ἐν τῷ Κειλὰν ἐγένετο, οἱ δὲ γονεῖς αὐτοῦ γενναῖοί τε καὶ εὐσεβεῖς ἦσαν· ἐν μὲν τῇ Καμβρίδγῃ ἔμαθεν, νεωτεριστὴς δὲ ἤδη τότε ἐγένετο, καὶ δὴ καὶ ἀεὶ πρὸς πάντας ἐνείκει.*

ἔπειτα δέ, τῇ Βρεταννικῇ ἀρχῇ ἐν τῇ Ἰνδίᾳ ἐργαζόμενος, περὶ μὲν ἑαυτοῦ ἔλεγεν ὅτι κοινωνιστὴς ἦν τὴν πολιτικὴν διάνοιαν, κατὰ δὲ τῆς Βρεταννικῆς ἀρχῆς συνωχαδὸν διελέγετο· ὑβρίσας δὲ νεανίδα τινά, ὡς τάχιστα μὲν αὐτὴν ἔγημε, τότε δὲ ὁ Κὶμ ἐγένετο, τῷ χιλιοστῷ ἐνακοσιοστῷ ἑνδεκάτῳ ἔτει· δῆλον μὲν οὖν ἦν ὅτι ἐν τῷ δημοσίῳ τότε εὐμερεῖν οὐχ οἷος τ' ἦν, πολλοὶ δὲ ἀξιόλογοι φίλοι αὐτῷ ἦσαν, ἀνεψιὸς δέ τις, Μοντγόμερι καλούμενος, ὃς ἔπειτα τὸν Ῥόμμηλ ἐν τῷ Ἒλ Ἄλαμειν ἐνίκησεν, αὐτῷ ἐβοήθησεν, ὁ δὲ Φίλβυ εἰς τὴν κρυφαίαν Βρεταννικὴν λειτουργίαν εἰσέβη.

ἐν μὲν τῷ Πρώτῳ Παγκοσμίῳ Πολέμῳ ἐπεμελήθη ὅπως οἱ Ἄραβοι (αὐτὸς γὰρ πολλὰς Ἀραβικὰς διαλεκτοὺς λέγειν εἶχεν) ἐπὶ τὴν Ὀτομάνην ἀρχὴν μαχήσονται, οἱ δὲ προστάτοι ἄσμενοι ἦσαν διὰ τὴν ἐπιτυχῆ ἐργασίαν αὐτοῦ· ἐπεὶ δὲ ὁ πόλεμος ἐτελεύτησεν, συνήθης ἐγένετο τῷ Ἴβν Σαοῦδ, ὃς ἔμελλε ἐν τῇ Ἀραβίᾳ βασιλεύσειν, ἄμφω γὰρ μάλιστα ἀντιϊσραηλιτικοὶ ἦσαν.

τῷ δὲ χιλιοστῷ ἐνακοσιοστῷ εἰκοστῷ ἐνάτῳ ἔτει, τῷ Ἱερουσαλὲμ ἐντυγχάνων, τῷ μὲν μουφτὶ Ἄχ Ἀμὶν φίλος ἐγένετο, τὴν δὲ ἰσλαμικὴν θεραπείαν ἤσκησεν.

**Kim Philby, the spy (second part)**
(18-06-04)

<u>Ὁ Κὶμ Φίλβυ, ὁ κατάσκοπος (δεύτερον μέρος)</u>
ὁ δὲ Φίλβυ (ὁ πατὴρ) μεσίτης μὲν ἐγένετο τῶν τε Ἀράβων καὶ ἐνιῶν Ἀμερικανῶν ἐπιχειρήσεων, ταύτῃ δὲ τῇ τύχῃ ἔχρητο ἵνα τοὺς Ἰουδαίους βλάπτοι· μετὰ δὲ ταῦτα ὅ τε Φίλβυ καὶ ὁ Ἴβν Σαοῦδ πετρέλαιον τῇ Γερμανίᾳ διδόναι ἐβουλεύσαντο, ἡ γὰρ αἰτία σαφὴς ἦν· ὁ μὲν Ἵτληρ τοὺς Ἰουδαίους ἐμισεῖτο, ὁ δὲ Φίλβυ τὸν Γερμανικὸν ἡγεμόνα ἐνόμιζε φράγμα ἔσεσθαι ἐπὶ τὴν κοινονιστὴν διάχυσιν, τότε ἤδη φανερὰν οὖσαν.

ἀλλὰ οἱ σοβιετικοὶ, ἅτε τοῦτο μαθόμενοι, ταχέως ἀντιτυπίαν ἐποίησαν, καὶ γὰρ ὁ Στάλιν τὴν ἐργασίαν "Παιδίον" ὥρμησεν, τὸ τὸν τοῦ Φίλβυ παῖδα, Κὶμ ὀνόματι, συλλέγειν, ὅπως τάς τε τοῦ πατρὸς πράξεις ἐν τοῖς Ἀράβοις κατασκοποίη καὶ αὐτάς, εἰ τῇ ΕΣΚΔ βλαβερὰς εἶεν, ἀκύρους ποιήσειε.

**Kim Philby, the spy (third and last part)**
(20-06-04)

<u>Ὁ Κὶμ Φίλβυ, ὁ κατάσκοπος (τρίτον τε καὶ τελευταῖος μέρος)</u>
ἡ δὲ ἐργασία εὐτύχησε, ὁ γὰρ Κὶμ ἤδη νεανίας ὢν κοινωνιστὴς ἐγένετο· καὶ δὴ καὶ ᾔδει ὅτι ὁ πατὴρ τὴν μητέρα ὕβρικεν, οὕτως δὲ κατὰ τὴν ψυχὴν ἐπὶ τὸν πατέρα ἐτιμωρήσατο.

ὁ μὲν οὖν Κὶμ τόν τε πατέρα καὶ τὸν ἐσόμενον ἐπιστράτηγον Μοντγόμερι σοβιετικὸς ἐπισκοπὸς ὢν ἔλαθεν, οἱ δὲ αὐτὸν εἰς τὴν κρυφαίαν Βρεταννικὴν λειτουργίαν εἰσήγαγον· ὁ δὲ Κὶμ ἐν τῇ πράξει εὐτύχησεν, ἡ γὰρ ἐπίνοια περὶ τοῦ πετρέλαιον τῷ Ἵτληρ πέμψαι διεφθάρη, καὶ μὴν αἴτίος ἐγένετο πολλῶν Ἀμερικανῶν στρατιωτῶν ἐν τῷ τῆς Κωρέας πολέμῳ ἀποθανόντων.

**Rugby: the USAP reaches the French Final**
(22-06-04)

<u>Ῥοῦγβι· ἡ ΥΣΑΠ εἰς τὸ Γαλλικὸν Τελικὸν ἥκει</u>
Ἡ τοῦ Περπιγνὰν ὁμάς, ἡ ΥΣΑΠ, προχθὲς τὴν Τουλούσην ἐνίκησε (ὀκτωκαίδεκα - ἑκκαίδεκα), ἐν δὲ

*τῷ Τελικῷ ἐπὶ τὸ Γαλλικὸν Στάδιον (τὴν τοῦ Παρίδος ὁμάδα) ἀγωνίσεται τῷ ἐπιγιγνομένῳ Σαββάτῳ· καίπερ τοῦ Γ. Σ. Παρισίνου ὄντος, ὁ ἀγὼν ἐν τῷ Παρίδι γενήσεται, τὸ γὰρ Τελικὸν ἀεὶ ἐν τῇ πρωτευούσῃ πόλει πράττουσιν· τὸ δὲ Γ. Σ. τὸ Βουργοῖν ἐνίκησεν.*

*ἡ μὲν ΥΣΑΠ καὶ τὸ Γ. Σ. ἤδη ἕκτον ἔτος ἠγωνίσαντο, ἡ δὲ Γ. Σ. τότε ῥᾳδίως ἐνίκησε· ὅμως δὲ ἡ μὲν τοῦ Παρίδος ὁμὰς νῦν οὐ τοιοῦτός ἐστιν οἷος τότε, ἡ δὲ ΥΣΑΠ ἐπὶ τὸ βέλτιον τέτραπται.*

**Football: Quarter Finals in the European Cup**
(24-06-04)

*<u>Ποδοσφαῖρος· Τετταρτοτελικὰ τῆς Εὐρωπαικῆς Κύλικος</u>*

*Ὀκτὼ μόναι ὁμάδες μένουσιν ἔτι θῳοὶ ἐν τῷ ἀγῶνι καὶ ὧδε ἐπ' ἀλλήλας ἀγωνίσονται·*

| | | | |
|---|---|---|---|
| - *ἡ Πορτογαλία* | - | *ἡ Ἀγγλία* | *(τῇ Πέμπτῃ),* |
| - *ἡ Γαλλία* | - | *ἡ Ἑλλάς* | *(τῇ Παρασκευῇ),* |
| - *ἡ Σουηδία* | - | *ἡ Ὀλλανδία* | *(τῷ Σαββάτῳ),* |
| - *ἡ Δανία* | - | *ἡ Ζεχία* | *(τῇ Κυριακῇ).* |

*λέγεται δὲ ὅτι ἐν τούτῳ τῷ ἀγῶνι μέγα θαῦμα ἡ Ζεχία γεγένηται, οὐ γὰρ μόνον εἰς τὰ τετταρτοτελικὰ ἀφῖκται ἀλλὰ καὶ χθὲς τὴν Γερμανίαν ἐνίκησεν, καίπερ μὴ δέον.*

**China executes 17 on drug charges**
(27-06-04)

*<u>Ἡ Σίνα ἑπτακαίδεκα τῆς φαρμακῶν ἐμπορίας φεύγοντας θανατοῖ</u>*

*Ἡ Σίνα ἐθανάτωσε χθὲς ἑπτακαίδεκα κατακρίτους, οἳ φάρμακα εἰς τὴν χώραν εἰσήνεγκον· αὐτίκα δή, ἄνθρωπός τις ἐθανατώθη διότι δύο χιλιογράμμα ἡρωίνης εἰς τὸ Σιαγγαὶ εἰσήνεγκε, ἄλλοι δὲ τῶν κατακρίτων ὄπιόν τε καὶ ἐφεδρίνην ἐπώλησαν.*

*ἡ δὲ Σίνα κατ' ἐνιαυτὸν μὲν σχεδὸν πεντακοσίους ἀνθρώπους διὰ ταύτην τὴν αἰτίαν θανατοῖ, εἰωθότως δὲ οὐ τοσούτους ἐν τῇ αὐτῇ ἡμέρᾳ· διὰ τί δὴ τοσούτους τῷ Σαββάτῳ ἐθανάτωσε; ἡ Σινικὴ ἀρχὴ εἶπεν ὅτι τοῦτο χθὲς ἔπραξαν διότι τῷ Σαββάτῳ τὴν Παγκόσμιον κατὰ τῶν Φαρμάκων Ἡμέραν ἑώρταζον· τοῦτο δὴ οὕτως εἶπον· ἥ γε Σίνα ηὗρε χθὲς ἰδίαν μέθοδον ἵνα οἱ Σινικοὶ πολῖται ταύτην τὴν ἡμέραν ἑορτάζοιεν.*

**Irak to get Saddam in custody - British Antarctic ice station likely to float away**
(29-06-04)

*<u>Τὸ Ἰρὰκ μέλλει τὸν Σαδδὰμ ἐν φυλακῇ δέξεσθαι</u>*

*Ἡ νέα ἀρχὴ δέξεται αὔριον τόν τε Σαδδὰμ καὶ ἄλλους ἕνδεκα Ἰρακίους ἡγεμόνας· δῆλόν ἐστι ὅτι οἱ αἰχμάλωτοι, πολυκτόνοι δή, ἐν τῷ Ἰρὰκ δικασθήσονται, οὐ μέντοι τάχα, μετὰ δὲ ἐνίους μηνάς, ὑπ' Ἰρακίων κριτῶν, αἱ γὰρ ΗΑΠ τὴν αὐτονομίαν τῷ Ἰρὰκ ἤδη ἀποδεδώκασιν, πρότερον ἢ τὸ προσδόκετον.*

*<u>Βρεταννικὸς Ἀνταρκτικὸς σταθμὸς μέλλει ἀποκυματίσεσθαι</u>*

*Ὁ σταθμὸς ἐπὶ τῷ κρυστάλλῳ κείμενος ἀποκυματίσεται, ἐὰν ἡ γῆ ἔτι μᾶλλον θερμαίνηται, ὁ γὰρ κρύσταλλος ἐφ' ᾧ ὁ σταθμὸς κεῖται ῥαγήσεται· ἡ δὲ Βρεταννικὴ ἀρχὴ ἄλλον τινὰ σταθμὸν*

*οἰκοδομεῖν βούλεται· ὅμως δὲ οὕτως τὸν νέον σταθμὸν οἰκοδομεῖν δεῖ ὥστε μὴ τῷ χιόνι κατακαλυφθῇ.*